Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-
ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

G. 160. a. 21

E. BIBL. RADCL.
~~23.~~
~~27. C. ...~~
15073 e. 27
CR. O. 110

# ΝΙΚΑΝΔΡΟΥ ΚΟΛΟΦΩΝΙΟΥ
# ΘΗΡΙΑΚΑ

---

# NICANDRI COLOPHONII
# THERIACA

ID EST

DE BESTIARVM VENENIS

EORVMQVE REMEDIIS CARMEN

CVM SCHOLIIS GRAECIS AVCTIORIBVS

EVTECNII METAPHRASI GRAECA

EDITORIS LATINA

ET CARMINVM PERDITORVM FRAGMENTIS

AD LIBRORVM SCRIPTORVM FIDEM RECENSVIT

EMENDAVIT

ET BREVI ANNOTATIONE ILLVSTRAVIT

IO. GOTTLOB SCHNEIDER

SAXO

---

LIPSIAE

IMPENSIS GERH. FLEISCHERI IVN.

MDCCCXVI.

# EPISTOLA EDITORIS

AD

# IACOBVM PHILIPPVM PELISSON

MEDICVM BEROLINENSEM, IN SOCIETATE AMICORVM, NATVRAE CVRIOSORVM, BEROLINENSIVM COLLEGAM, AMICVM DOCTISSIMVM ET AESTVMATISSIMVM.

---

Quod in hac temporum iniquitate sperare ausus non eram, fore vt vinus ipse tandem nomen, ante multos annos factum, Tibi, Vir doctissime, publice persoluerem, id nunc volente Deo ad ingrauescentis aetatis requiem atque oblectationem referre possum. Reddo igitur Tibi partem fructuum, quos e reliquiis litterariis Stephani Bernardi percepi, quas Tu feliciter ab interitu vindicatas mihi vtendas tradidisti propriasque fecisti. Erant in his aduersaria medici graece doctissimi, in quae coniecerat coniecturas, animaduersiones et quaecunque collegerat eius industria ad Nicandri carmen vtrumque cum fragmentis diligenter vndique collectis vel emendandum vel illustrandum: nec deerant indices accuratissimi et singulorum carminis vtriusque verborum et scriptorum, in Scholiis graecis vulgatis nominatorum. Librorum scriptorum subsidiis nullis vsus, sed ingenii acumine confisus poetae verba et loca vitiosissima aggressus erat, et plura sane feliciter emendauerat, multa etiam aliorum et poetarum et scriptorum loca a librariis corrupta obiter tentauerat vel correxerat, in quibus viri ingeniosissimi sagacitatem admirari debui. Coniecturas quidem atque emendationes Nicandreas fere omnes, quae videlicet ad Theriaca pertinerent, in breui annotatione carmini subiecta auctori suo reddidi: alias tacui, vbi librorum manuscriptorum lectio praeferenda esse videbatur. Supersunt tamen plures viri docti coniecturae et emendationes Nicandri Alexipharmacis adscriptae, quibus lectores graeci sermonis Nicandrique studiosos defraudare nefas duco: itaque in hac epistola Tua cum venia, vir doctissime, collectas proponam: quibus adiungam alia e Thesauro Henrici Stephani decerpta, quae ad peculiarem viri egregii laudem pertinent. Is enim Nicandri carmina duo, quibus

locum inter poetarum principum graecorum reliquias a se collectas dedit, non solum diligentissime typis expressit, sed antea etiam cum libris scriptis comparata multis in locis emendauerat. Cuius operae et laudis testimonia per varia Thesauri graecae linguae loca sparsa hic collecta repetere non dubito, quoniam in edendis Alexipharmacis iustam meritis Stephani laudem redditam a me non fuisse postea demum non sine dolore animadverti.

In loco igitur, vbi venenum cantharidum curatur vomitu, versu 137 et 138. *εἰς δ᾽ ἔμετον κορέσαιο, τὰ δ᾽ ἀθρόα νειόθι βρασσαις ἐμματέων ἔτ᾽ ἄπεπτα πύλῃ μεμιασμένα δόρπα.* vitium vidit, a structura verborum laborante et sententia imperfecta satis demonstratum. *πύλῃ* enim non habet, vnde pendeat, nec pylorum ventriculi per se solum vocabulum significare potest. Quare laudo ingeniosam Bernardi coniecturam scribentis *ἐμματέων, ὅτ᾽ ἄπεπτα πέλῃ μεμ. δόρπα,* vel *ὅσ᾽ ἄπεπτα πέλει μεμ. δ.* Vitiosi *πύλῃ* nullum in Eutecnii paraphrasi vestigium extat.

In cura veneni ixiae versu 308. silphii obolum triti praebet: *ἢ ὀδελὸν κνηστῆρι κατατρίψαιο χαράκτρῳ σιλφίου.* Vocem sine dubio vitiosam *χαράκτρῳ* Scholion graecum *χαρακτηρικῷ* interpretatur, vocabulo a sensu alieno; quare *χαρακτῷ* cum Codice a Stephano Thes. IV. p. 395. comparato et cum Goettingensi scribendum in ipso versu, *χαρακτικῷ* vero cum Stephano in Scholio. Describitur *τυρόκνηστις* quod graece alias dicitur instrumentum: id poeta *κνηστῆρα χαρακτὸν* vocat. Vocabulum *χαράκτρῳ*, iunctum *κνηστῆρι*, hic locum non habet: igitur, nisi aliunde auctoritas accesserit, e Lexicis ablegandum.

In versu 601. *καί τε καὶ αὐξηρῶν δονάκων ἀπὸ ῥιζέα κόψας* Bernardus *ῥιζία* scribi iussit, vt est versu 145. et in Theriac. versu 940. Sed cum versu 46. 142. et 147. *καυλέα* sine varietate legatur, similiter *κορσέα* versu 414., dubito, an poeta Grammaticus sibi licere putauerit e forma *ῥιζεῖα*, qua vtitur Alexiph. versu 265., et *καυλεῖα, καυλεῖον* Theriac. versu 75. 535. 882., item *κορσεῖον* Alex. versu 135. (vt *πτορθεῖα* Alex. versu 267.) deducere *ῥιζέα, κορσέα, καυλέα.* Contra tamen *καυλία* legitur Alex. versu 199. vbi temere secutus Codices *καυλέα* dedi.

Itaque scripturae aequalitas certe seruanda est. Equidem cum Bernardo formam antiquam ῥιζία, καυλία, κορσία praefero: cui poeta grammaticus, vbicunque metrum syllabam longam flagitabat, more seculi sui vocali adiuncta, alteram ῥιζεῖα, καυλεῖα, κορσεῖα substituit; quemadmodum Aratus versu 986. κεγχρείοισιν dixit pro κεγχρίοις. Ad eandem formam Nicander πεταλεῖον dixit Theriac. versu 628. et 638. δαυκεῖον pro δαῦκος Theriac. 858. et 939.

In Scholiis ad versum 99. σκληρ᾽ ἀπὸ Περσείης κάρνα verba postrema, quae solus recentior Scholiastes Goettingensis habet, Περσείης δὲ εἶπε τὸ ἀρχαῖον ἀπὸ τοῦ Θεοδοσιακοῦ Νικάνδρου μεταγεγραμμένον, Codex ab H. Stephano inspectus, ipso testante in Thes. II. p. 1632., ita scripta habebat: Π. δὲ εἶχε — Νικανδρίου. Ad vocem ἀρχαῖον Stephanus ἀντίγραφον intelligebat. Idem comparauit locum Theriac. 764. vbi de persea arbore est Περσεῖος vel Περσῆος πετάλοισι. Vnde apparet, in Codice Theodosiaco Περσεῖος vel Περσῆος scriptum fuisse, non, vt vulgatur, Περσείης. Theodosius videtur criticam operam emendandis vel describendis Nicandri carminibus his duobus dedisse. Itaque addendus iis, quos enumerauit Fabricii Bibliotheca graeca, poematum horum interpretibus, e quibus collecta fragmenta hodie extant vel in geminis Scholiis, antiquioribus nempe et recentioribus, vel in Eutecnii paraphrasi, cui similem olim sub Anastasio imperatore, sed iambis 1370 scriptam, *Marianus* quidam, teste Suida, ediderat. Commentarios in Nicandri poemata veteres saepiuscule laudauit Etymologicum Magnum. Diphilum Laodicensem ἐν τῷ περὶ τῶν Νικάνδρου Θηριακῶν Athenaeus 7. p. 314. (151. Schw.), vbi de torpedine raia tradidisse dicitur experientia doctus, vim torporificam raiae residere non in toto corpore, sed certa eius parte contineri. Scholia ad Theocriti Idyllion X. nominant Δίφιλον ἐν πρώτῳ τῶν Νικάνδρου Θηριακῶν, vbi verba aliquot deesse, certe vitiosa esse videntur, si de eodem Diphilo sunt, vt Fabricius existimauit. Παμφίλου Aristarchei εἰς τὰ Νικάνδρου ἀνεξήγητα memorauit Suidas in hoc nomine. Stephanus Byzantinus in nomine Κορώπη, cum versum Theriacorum 613. posuisset, commemorat plures interpretes his verbis: οἱ δὲ ὑπομνηματίσαν-

ρες αὐτὸν Θέων καὶ Πλούταρχος καὶ Δημήτριος ὁ Φαληρεύς φασι. Plutarchi commentarios in Nicandri Theriaca inter opera Plutarchi commemorat Lampriae catalogus, et semel nominant Scholia ad Theriac. versum 94. Demetrium Phalereum probabili coniectura Fabricius mutat in Chlorum a Sexto Empirico aliquoties nominatum et in Scholiis graecis Nicandreis saepius ad testimonium vocatum. *Theon* fortasse idem est, quem laudant Scholia ad Theriac. versum 237. *Antigonum* nominant eadem ad Theriac. versus 94. 215. 377. 575. 585. 748. 781. 849. quem Alexandrinum esse, ab Erotiano in Praefatione Glossarii Hippocratici et in voce πηνῖρα memoratum, non sine causa suspicatur Steph. Bernardus. Aliter visum Meursio ad Antigonum Carystium p. 141.

Etiam *Tyrannionem* grammaticum, Sullae temporibus Romae celebratum, operam in Nicandro interpretando collocasse suspicor e Scholio posito ad Theriac. versum 52. vbi cum *Apollonio* Memphite nominatur. Eandem suspicionem de *Diogeniano* suggerunt Scholia ad Theriac. versum 237. de *Zenodoto Theophileo* ad v. 11.

In versu Alexiph. 189. vulgo legebatur ἐμπάζοντες, versu vero 282. ἐμπάζεται: quod vtrumque vitium e vetere Codice emendauit H. Stephanus in Indice Thesauri sub verbo ἐμπάζομαι.

In versu 539. et 540. aduersus fungorum venenum commendantur baccae myrti, de qua est: Δίκτυννα τεῆς ἐχθήρατο κλῶνας Ἥρης τ' Ἰμβρασίης μούνη στέφος οὐχ ὑπέδεκτο κάλλεος. quam scripturam vitiosam esse, vidit Ez. Spanheim, cuius manu notatum exemplar est in Bibliotheca regia Berolinensi. Is igitur correxit Ἥρη τ' Ἰμβρασίη μούνης στέφος οὐχ ὑπ. κ. Nam myrtus, qua Venus coronata fuit coram Paride iudice, aeque inuisa Iunoni fuit quam Dianae.

Diutius Te, vir doctissime, curis grauioribus satis iam districtum morari vetat modestia. Igitur desino in precibus, quibus Te rogo et obtestor, vt hoc munusculum tanquam animi grati testem beneuole accipere meque amicitiae Tuae commendatum habere digneris. Ita vale. Scribebam Vratislauiae a. d. V. Calendas Apriles MDCCCXV.

# PRAEFATIO.

Pauca habeo in aditu operis dicenda, quae et consilium editionis et breuitatem annotationis vel excusent vel interpretentur. Cum enim temporum iniquitas, orta illa e lue Gallica, qua Germania nostra tamdiu conflictata laborauit, commentariorum, quibus hic poeta inprimis indiget, et quos diu iam in mundo habeo, publicationem excluderet, omne studium mihi fuit eo conferendum, vt e spisso commentariorum volumine ea excerperem, quae ad scripturam a me positam vel auctoritate librorum scriptorum, vel testimonio scriptorum et Grammaticorum veterum, vel denique iudicio virorum doctorum et meo stabiliendam, confirmandam commendandamque pertinere viderentur. Rerum enim ipsarum a poeta traditarum notitiam et doctrinam examinare atque illustrare maioris longe operae erat, quam hic liber caperet: quanquam sunt loca non pauca huius carminis, quae longiorem disputationem exigebant, qua scripturam a me receptam tuerer atque explicarem. Eadem causa paraphrasin, qualem Alexipharmacis Nicandri subiunxi, ad commodiora et salubriora his studiis tempora reieci, quoniam fides eius et auctoritas omnis e commentariis apta est et iudicari debet.

Praeter longum bestiarum venenatarum et herbarum cognoscendarum studium subsidia noua ad apparatum criticum in Praefatione ad Alexipharmacorum editionem descriptum postea haec fere accesserunt.

Ex hereditate Stephani Bernardi, medici doctissimi et celeberrimi, ad sororem eius Berolinum delata, beneficio doctissimi et amicissimi viri, Pelissoni, medici Berolinensis, in manus meas peruenit, quidquid Bernardus cum ad varios scriptores graecos, tum inprimis ad Nicandrum emendandum illustrandumque collegerat et in chartas bene multas contulerat. Hinc delegi diligenterque apposui viri docti obseruationes coniecturasque, quae mihi tanti nominis fama dignae visae essent. Caruit tamen ope librorum scriptorum, nec ipsas editiones primas inspexerat.

Supplementum insigne Scholiorum graecorum, quae lectorem in extremo carmine destituebant, e Codice Vaticano Gallus De la Porte du Theil in Notitiis et Excerptis Codicum MStorum regiorum Parisiensium publicauit, quo cum fructu et meo et, vt spero, lectorum etiam vsus sum.

Nuperrime demum Museum Cantabrigiense publici iuris fecit annotationes Rich. Bentleii ad Nicandri Theriaca adscriptas: quibus si mihi contigisset vti, an carmen hoc emendatius proditurus fuissem, ipsa lectorem comparatio docebit, quam equidem non detrecto, neque timeo, ne cuiquam iactantius locutus esse videar. Sunt enim in his studiis quaedam non summa quidem, sua tamen laude non carentia, quae etiam sine tanto ingenio, quantum fuit Bentleii, studio atque industria liceat consequi.

Si quando, felicitate temporum pristina in Germania nostra restituta, hominum doctorum fauor his meis studiis aspirauerit, et si Dei benignitas huic vitae

meae annos aliquot addiderit, spero fore, vt commentariis vberioribus editis Fragmenta Nicandri reliquorum carminum satis multa et insignia, passim emendata, possim adiungere. Quod quo maiore cum lectorum fructu fieri possit, inprimis optandum est, vt, qui in Italiae et Galliae Britanniarumque bibliothecis reconditi latent medicorum graecorum et latinorum de venenis bestiisque venenatis libri, tandem in lucem protracti vsibus hominum doctorum faciliorem aditum praebeant. Aetium graecum, Aelium Promotum, Magnum Iatrosophistam aliosque dico, qui medicorum antiquiorum scripta de venenis compilarunt, e quibus sua etiam Nicander duxerat. De Aelio Promoto hoc vnum addere nunc liceat iis, quae dicta sunt in Praefatione ad Alexipharmaca. Tandem nactus librum Ioh. a Bona praefationem Aelii Promoti legi, quam ille praeposuit *Δυναμερῷ* e Codice 295. Bibliothecae D. Marci edito ibi p. 229 seqq. vnde excerpam postrema verba: *εἰ δέ τι τῶν νοσημάτων κακοηθεύοιτο μήτε διαγνώσει μήτε τῇ διὰ τῆς ὕλης εἶκον θεραπείᾳ, δεύτερον προσέταξε πλοῦν (βιβλίον?) τὴν τῶν φυσικῶς ἐνεργούντων καὶ ἀφράστῳ τινὶ αἰτίᾳ καὶ δυνάμει συναγωγὴν, περιεργότερον μὲν ἢ κατὰ τὴν καθ' ἡμᾶς ἰατρικὴν, οὐδὲν δὲ ὅμως τῶν ὠφελεῖν ἐγνωσμένων παροϱατέον.* Vnde discimus, librum in bibliotheca Leidensi asservatum pertinere veluti librum secundum seu partem alteram ad hoc Aelii Promoti *Δυναμερόν*. Post Pompeii M. tempora vixisse Promotum, Posseuinus censet in Bibliotheca selecta XIV. 17. qui librum a Mercuriali laudatum *περὶ ἰοβόλων* potius Aeschrionis Empirici a Galeno laudati esse putat. Aliter Posseuini locum accepisse Fabricium Bibl. Gr. T. XII. p. 780., monet Bongiouanni p. 231.

Haec scripseram mense Februario. Consilium

mutare coegit copia emendationum Bentleii facta mihi nuperrime submisso Museo Cantabrigiensi a viro eruditissimo, Bibliothecae regiae nunc Praefecto, Beigelio Dresdensi. Interim aliquid otii nactus animo etiam, variis hucusque curis turbato, consistere coepi: itaque lubenter ad curam editionis Nicandreae renouandam redii, et, quantum potui, annisus sum, vt hanc poematum Nicandri reliquorum partem posteriorem priore, ante annos plus viginti publicata, non inferiorem redderem. Annotationem igitur copiosiorem, metaphrasin Eutecnii integram, Fragmentorum Nicandri poematum praecipuorum collectionem et Indicem verborum graecorum vtriusque carminis et Fragmentorum addidi. In hoc multa editionis prioris i. e. Alexipharmacorum et huius Theriacorum vitia scripturae vel meae vel operarum correcta obiter lector reperiet.

In notitia Anonymi de vita et genere supersunt errores aliqui vel scriptoris vel auctoris ipsius, quos hic obiter conuincam aut emendabo. Vitium scripturae manifestum in nomine *Λυσιακῆς*, filiae Hippodamiae, demonstrat locus Plutarchi in Theseo c. 7, 1. vbi Thesei cognatio et Herculis explicatur his verbis: *Αἴθρα ἦν Πιτθέως θυγάτηρ, Ἀλκμήνη δὲ Λυσιδίκης, Λυσιδίκη δὲ καὶ Πιτθεὺς ἀδελφοὶ, γεγονότες ἐξ Ἱπποδαμείας καὶ Πέλοπος.* In Scholiis vetustioribus ad Pindari Olymp. 7, 49. Lysidice, Pelopis filia, nupta Electryoni Alcmenen peperisse dicitur: in recentiore Scholio ad versum 46. male Pelopis soror Lysidice vocatur. Filiam dicit etiam Pausanias 8, 14, 2. item Apollodorus 2, 4, 4. sed hic Mestori nuptam Hippothoen peperisse narrat.

Error scriptoris ipsius aut interpolatoris esse videtur in nota temporis, quo Nicander vixisse dicitur *κατὰ Ἄτταλον τὸν τελευταῖον ἄρξαντα Περγάμου, ὃς κατελύθη ὑπὸ Ῥωμαίων.* Huic carmen inscripsisse dici-

tur, cuius initium appositum genealogiam ab Hercule repetitam Attali tradit. Postremus Attalorum, quem chronologi tertium numerant, testamento mortuus anno a. C. N. 133. regnum Romanis legauit. Is vero minime dici potest καταλυθῆναι ὑπὸ Ῥωμαίων, victus et regno priuatus esse. Neque id dici potest de patruo eius, qui per viginti annos regnum pupilli administrauit, tandem ab eo dolose interfectus anno a. C. N. 138. Hic fuit medicinae valde studiosus, litterarum studia egregie fouit: vnde factum est, vt auctores multi libros suos nomini Attali huius II. inscriptos ederent. Hunc igitur intelligi a Dionysio Phaselite, notitiae auctore, censuit Thom. Gale in Dissertat. ad Scriptores histor. poeticae p. 46.

Errorem Dionysii auxit Suidas, haec repetens: *γεγονὼς κατὰ τὸν νέον Ἄτταλον ἤγουν τὸν τελευταῖον τὸν Γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν.* Attalus enim I. anno a. C. N. 238. Gallos victos repulit et intra Galatiam conclusit.

Auctor vitae Arati demonstrans errorem eorum, qui Arato Nicandrum aequalem tempore fecerant, ad Ptolemaeum quintum relegat Nicandri aetatem. Ptolemaeus autem hic, Epiphanes cognomine, ab anno a. C. N. 204. regnauit. Vides, auctoritate veterum scriptorum aetatem Nicandri intra annum a. C. N. 204. et 138. conclusam dubios nos relinquere, cui termino virilem poetae aetatem et mortem assignemus. Quodsi Attalum I. seu Galatonicen intelligamus eiusque tempora cum aetate Ptolemaei V. comparemus, vita Nicandri intra initia regni Attali I. circa annum a. C. N. 242. et mortem Ptolemaei V. circa annum a. C. N. 181. igitur per interuallum annorum 61 incerta iactatur. Mors autem Attali I. incidit in annum a. C. N. 198. Ptolemaei in annum 181. Ab anno igitur 198. a. C.

N. vsque ad annum 181. a. C. N. recte potuit dici Nicander vixisse aetate Attali I. et Ptolemaei V.

Locus hic inuitare me videtur, vt, antequam desinam, cum lectore gaudium et cimelium communicem nuper oblatum a codice manuscripto Vratislauiensi bibliothecae Redigeranae, qui Pindari Olympionicas cum Scholiis vetustis et recentioribus seorsim scriptis continet. Textus varietatem in vsum editionis Boeckhianae excerptam video; de Scholiorum vero praestantia nihil monitum reperi. Discrepant vetusta Scholia ab editis permultis in locis, nouis aucta, et auctoritate Aristophanis, Aristarchi, Aristodemi, Dionysii, Ammonii, grammaticorum, distincta, vbi confusam interpretationis varietatem edita proponunt. Initio vita Pindari apposita legitur, diuersa ab edita, et fragmentis carminum Pindaricorum nouis aliquot conspicua, additis in fine apophthegmatis sex, quorum postremum Stobaeus etiam posuit. Hanc Pindari vitam speciminis loco deinceps apposui excerptam e Codice, subiunctis annotationibus meis: vnde augurari possint lectores, quam insignis accessio inde carminum Pindaricorum criticae emendationi fieri possit. Codicem ipsum descriptum esse suspicor e Mediceo aliquo, vnde Victorius insigne carminis fragmentum excerpserat, quod nuper in Actis Philologorum Monacensium publicatum legitur.

Scribebam Vratislauiae a. d. III. Idus Septembres MDCCCXV.

## Βίος Πινδάρου.

Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοκεφάλων· κώμη δέ ἐστι Θηβαϊκή· υἱὸς Δαϊφάντου· κατὰ δὲ ἐνίους Παγώνδα. Ἔνιοι δὲ Σκοπελίνου αὐτὸν γενεαλογοῦσι· τινὲς δὲ τὸν Σκοπελῖνον πατρῷον αὐτοῦ γενέσθαι, καὶ αὐλητὴν ὄντα τὴν τέχνην διδάξαι αὐτόν· ὑπὸ πολλοῦ καμάτου εἰς ὕπνον κατενεχθῆναι· κοιμωμένου δὲ αὐτοῦ μέλισσαν τῷ στόματι προσκαθίσασαν κηρία ποιῆσαι. Οἱ δέ φασιν, ὅτι ὄναρ εἶδεν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες εἶναι αὐτοῦ τὸ στόμα. Καὶ ἐπὶ ποιητικὴν ἐτράπη. Διδάσκαλον δὲ αὐτοῦ Ἀθήνησιν, οἱ μὲν Ἀγαθοκλέα, οἱ δὲ Ἀπολλόδωρον λέγουσιν, ὃν καὶ προϊστάμενον κυκλίων χορῶν ἀποδραμοῦντα (sic) πιστεῦσαι τὴν διδασκαλίαν τῷ Πινδάρῳ παιδὶ ὄντι· τὸν δὲ εὖ διακοσμήσαντα διαβόητον γενέσθαι. Ἔρεισμα δὲ τῆς Ἑλλάδος εἰπὼν Ἀθήνας, ἐζημιώθη ὑπὸ Θηβαίων χιλίας δραχμὰς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι. Ἦν δὲ οὐ μόνον εὐφυὴς ποιητὴς, ἀλλὰ

καὶ ἄνθρωπος θεοφιλής· ὁ γοῦν Πὰν ὁ θεὸς ὤφθη μεταξὺ τοῦ Κιθαιρῶνος καὶ τοῦ Ἑλικῶνος ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ ᾆσμα ἐποίησεν ἐς τὸν θεὸν, ἐν ᾧ χάριν ὁμολογεῖ τῆς τιμῆς αὐτῷ, οὗ ἀρχὴ Ὦ Πὰν Πὰν Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ. Ἀλλὰ καὶ ἡ Δημήτηρ ὄναρ ἐπιστᾶσα αὐτῷ ἐμέμψατο, ὅτι μόνην τῶν θεῶν οὐχ ὕμνησεν· ὁ δὲ εἰς αὐτὴν ἐποίησε ποίημα, οὗ ἡ ἀρχὴ Πότνια θεσμοφόρε χρυσάννιον. Ἀλλὰ καὶ βωμὸν ἀμφοτέρων θεῶν πρὸ τῆς οἰκίας τῆς ἰδίας ἱδρύσατο. Παυσανίου δὲ τοῦ Λακεδαιμονίων βασιλέως ἐμπιπρῶντος τὰς Θήβας ἐπέγραψέ τις τῇ οἰκίᾳ Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε· καὶ οὕτως μόνη ἀπόρθητος ἔμεινεν· καὶ ἔστι τὸ νῦν ἐν Θήβαις πρυτανεῖον. Ἀλλὰ καὶ ἐν Δελφοῖς ὁ προφήτης μέλλων κλείειν τὸν νεὸν (sic) κηρύσσει καθ᾽ ἡμέραν Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ· καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς αὐτός φησι πενταετηρὶς ἑορτᾶς βούπομπος, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις. Λέγεται δὲ θεωροῖς ἀπιοῦσιν εἰς Ἄμμωνος αἰτῆσαι Πινδάρῳ τὸ ἐν ἀνθρώποις ἄριστον, καὶ ἀποθανεῖν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. Ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου, ἢ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότε-

ροι πράξεων. Καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι μάχην γέγραφε· καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου βασιλείας. Ἀλλὰ καὶ ἀμφότεροι παρὰ Ἱέρωνι τῷ Συρακοσίων τυράννῳ γεγένηνται. Γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ Καλλίνης, ἔσχεν υἱὸν Διόφαντον, ᾧ καὶ δαφνηφορικὸν ᾆσμα ἔγραψεν· καὶ θυγατέρας δύο Πρωτομάχην καὶ Εὔμητιν. Γέγραφε δὲ βιβλία ἑπτὰ καὶ δέκα, ὕμνους, παιᾶνας, καὶ θυράμβων β. προσωδίων β. φέρεται δὲ καὶ παρθενίων β, καὶ γ, ὃ ἐπιγράφει κεχωρισμένων παρθενίων. ὑπορχημάτων β. ἐγκώμια, θρήνους, ἐπινίκων δ. φέρεται δὲ ἐπίγραμμα ἐπὶ τῆς τελευτῆς αὐτοῦ τόδε·

Ἦ μάλα Πρωτομάχα τε καὶ Εὔμητις λιγύφρωνοι
ἔκλαυσαν πινυταὶ Πινδάρου θυγατέρες,
Ἀργόθεν ἦμος ἵκοντο κομίζουσ' ἔνδοθι κρωσσοῦ
λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

Πινδάρου ἀποφθέγματα·

1. Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε, διαβολή.
2. Παραγενόμενος δὲ εἰς Δελφοὺς καὶ ἐρωτώμενος, τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπε, παιᾶνα.
3. Ἐρωτηθεὶς πάλιν, διὰ τί Σιμωνίδης πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐ θέ-

λει, ὅτι [οὐ] βούλομαι, εἶπεν, ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

4. Ἐρωτηθεὶς, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα οὐ δίδωσιν, οὐ μόνον δεῖσθαί φησιν εὖ πράττοντος, ἀλλὰ καὶ πράξοντος εὖ.

5. Ἐρωτηθεὶς πάλιν ὑπό τινος, διὰ τί μέλη γράφων οὐκ ἐπίσταται ᾄδειν, εἶπεν, καὶ γὰρ οἱ ναυπηγοὶ πηδάλια κατασκευάζοντες κυβερνᾷν οὐκ ἐπίστανται.

6. Τοὺς φυσιολογοῦντας ἔφη ἀτελῆ σοφίας δρέπειν καρπόν.

# ANNOTATIONES
## AD
# VITAM PINDARI.

*Κυνοκεφάλων*] Xenophonti Agesilai II. 22. *Κυνὸς κεφαλαὶ* locus audit, vnde situm eius cognoscere licet. Moschus Idyllii III. v. 89. *Βοιωτίδας Ὕλας* patriam Pindari ocat.

*Παγώνδα*] Ita rectius scriptor hic, quam vulgata vita cum Suida *Παγωνίδου καὶ Μυρτοῦς.*

*ὑπὸ πολλοῦ — ἐτρύπη*] Haec ab initio lacunosa pertinent ad puerum Pindarum, de quo scriptor vitae metricus: *Τὸν μὲν ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ εἰςέτι παιδίον ὄντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.* Somnium maiori aetati videtur assignandum. Priorem narrationem licebit redintegrare e Pausania 9, 23, 2. et Aeliani v. h. 12, 45.

*Ἀθήνῃσι — Ἀγαθοκλέα*] De Agathocle metricus scriptor: *μετὰ τὴν δ'* (Corinnam) *Ἀγαθοκλέος ἔμμορεν αὐδῆς, ὅςτε ῥά οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.* De Apollodoro Atheniensi reliqui scriptores omnes, quos quidem hodie editos legimus, tacent. Athenis versatum fuisse Pindarum tradunt Aristodemus Athenaei p. 495. et Himerius Orat. XI, 4. p. 578. ed. Wernsdorf.

*χιλίας δραχμὰς*] Reliquorum scriptorum testimonia collecta annotaui in Vita Pindari germanico sermone scripta anno 1774. p. 39.

*μεταξὺ τοῦ Κιθαιρῶνος — Ἑλικῶνος ᾄδων παιᾶνα*] Aliter narrant rem, quos laudaui in Fragmentis Pindari p. 60. Ceterum coniectura Heynii immortalis, hymnum in Panem fuisse inter *παρθένεια*

editum a Pindaro, confirmat hic locus comparatus cum scholiis Pindaricis ad Pyth. III, 139. vbi Pindarus laudatur *ἐν τοῖς κεχωρισμένοις τῶν παρθενίων· ὦ Πὰν Ἀρκαδίας μεδέων ἕως τοῦ μητρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.* Ita enim e Scholiis Theocriteis ad Idyll. II, 10. scribendum esse docui in Fragmentis pag. 28. Quae fuerint *τὰ κεχωρισμένα τῶν παρθενίων*, docet hic noster scriptor in extremo, vbi inter Pindari scripta commemorantur: *φέρεται δὲ καὶ παρθενίων β, καὶ γ', ὃ ἐπιγράφει κεχωρισμένων παρθενίων.* Tertius igitur liber *παρθενίων* separatim editus hoc titulo a Grammaticis Graecis laudari solebat.

*Δημήτηρ — χρυσάνιον*] De hoc hymno nusquam alibi traditum legi. Sed hymnus in Persephonen teste Pausania IX, 23. similiter Plutonis epitheton habebat *χρυσήνιος.* Addit Pausanias: *δῆλα ὡς ἐπὶ τῆς Κόρης τῇ ἁρπαγῇ.*

*ἀμφοτέρων θεῶν*] Rheae et Panis sacellum ante domum Pindari collocatum ante portas Thebarum Neïtidas vidit et memorauit Pausanias, ipse etiam poeta in oda Pythica tertia versu 138. vbi conferenda sunt scholia. Vide Vitam Pindari p. 33.

*Παυσανίου — καίετε*] Narrationem habet etiam Vita edita. De Alexandro Macedone solo narrat metrica Vita versu 13. 14. 15.

*Καὶ ἔστι — πρυτανεῖον*] Cum Pindari domum ante portas Neïtidas sitam memorauerit Pausanias, nec de prytanei vsu mentionem vllam fecerit, prytanea vero extra portas sita nusquam fuisse videantur, nescio quid de hac notitia et de tempore, quo perscripta fuit, statuendum sit.

*κηρύσσει καθ' ἡμέραν*] Vita edita: *ὡς καὶ μερίδα τῶν προσφερομένων τῷ θεῷ λαμβάνειν, καὶ τὸν ἱερέα βοᾷν ἐν ταῖς θυσίαις Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ.* Vita metrica: *ἔτι ζώοντι ἀοιδῷ Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς ἧία καὶ μέλι λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.* Honos posteris seruatus fuit, vti tradit Plutarchus de sera numinis vindicta: *ἀναμνήσθητι τῶν ἔναγχος Θεοξενίων καὶ τῆς καλῆς ἐκείνης μερίδος, ἣν ἀφαιροῦντες τοὺς Πινδάρου κηρύττουσι λαμβάνειν ἀπογόνους.* Cf. Athenaei IX. p. 373.

*ἐν τῇ τῶν Πυθίων ἑορτῇ*] Testimonium ipsius Pindari quantiuis pretii adstruit etiam narrationem aliorum scriptorum.

*θεωροῖς ἀπιοῦσιν εἰς Ἄμμωνος*] Vita edita: *αἰτήσαντι γὰρ τὸ*

*κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα.* Tenedium Theoxenum, Agesilai filium, cecinit poeta in fragmento apud Athenaeum 13. p. 176. Schw. Pindarus Ammonis statuam Thebis dedicauit, et in Libyam hymnum miserat Ammoni, quem columnae trigonae inscriptum vidit adhuc Pausanias IX, 16.

*πρεσβυτέρῳ*] Antecedens *Σιμωνίδου* videtur genitiuum flagitare.

*τῆς Κάδμου βασιλείας*] An *Δαρείου* vel aliud Persarum regis nomen lateat in vitiosa scriptura, alii viderint.

*γεγένηνται*] At enim vero inter apophthegmata tertium negare videtur iter Syracusanum ad Hieronem.

*Μεγάκλειαν — Διόφαντον*] Vita metrica aliter: *Τῷ Τιμοξείνῃ παρελέξατο δια γυναικῶν, ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον, Πρωτομάχην δ' ἐπὶ τοῖσιν.* Filium Vita prosaica apud Suidam aliter vocat: *καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Διόφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη.* Concinit igitur auctor is, quem Suidas exscripsit, cum scriptore nostro. Patrem *Δαϊφάντην* nominat Vita metrica. Sed annotatione dignum est, Eudociam, quae locum in Violetum suum transtulit, verba supra posita omisisse. Vita edita prosaica: *ἔσχε δὲ θυγατέρας δύο Πολύμητιν καὶ Πρωτομάχην.* In Scholiis ad Pyth. 3, 139. p. 535. filias *Εὔμητιν* et *Πρωτομάχην* nominant.

*δαφνηφορικὸν*] Interscripta Pindari Suidas *Δαφνηφορικὰ* nominauit, quorum nullum extat hodie fragmentum.

*καιθυράμβων*] Facilis est emendatio *διθυράμβων.* De partheniis antea dictum est.

*λιγύφρωνοι*] Scribendum *λιγύφωνοι.* Pentametrum reconcinnare licebit scribendo *Πίνδαρον αἱ θύγατρες.*

*Ἀργόθεν*] Argis igitur mortuum et crematum tradit hic scriptor, quem alii Thebis in theatro in sinu amati Theoxeni obiisse scripserunt.

Apophthegma 2. *παιᾶνα.* In vestibulo templi Delphici sellam ferream conspexit Pausanias X, 24, 4. in qua Pindarus sedens, quotiescunque Delphos aduenisset, carmina a se in Apollinem composita cecinisse ferebatur.

Apoph. 3. *ὅτι οὐ βούλομαι.* Negationem secludendam censeo.

Apoph. 4. *οὐ τῷ εὖ πράττοντι — οὐ δίδωσιν.* Inepte negatio repetita a librario et priore loco delenda est. Pindarus de vita et fortuna hominis futura desperasse videtur, cui filiam desponderi cognati volebant.

Apoph. 5. *οὐκ ἐπίσταται ᾄδειν.* Imperitum cantus fuisse, non credo, sed vocem poetae aptam defuisse suspicor. Multa tamen veterum scriptorum loca, inprimis Pausaniae testimonium de sella ferrea Pindari, huic narrationi fidem derogare videntur.

Apoph. 6. *ἀτελῆ — καρπόν.* Habet Stobaeus Serm. 211. p. 711. Wechel. Plato Reipubl. 5, 6. p. 170. Astii: *ὁ δὲ γελῶν — ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπὸν οὐδὲν οἶδεν.* vbi *σοφίας* additum ab eo, qui Pindari locum significari meminerat.

ΝΙΚΑΝΔΡΟΥ

# ΘΗΡΙΑΚΑ.

# ΓΕΝΟΣ ΝΙΚΑΝΔΡΟΥ.

Νίκανδρον τὸν ποιητὴν Διονύσιος ὁ Φασηλίτης ἐν τῷ περὶ τῆς Ἀντιμάχου ποιήσεως Αἰτωλὸν εἶναί φησι τὸ γένος· ἐν δὲ τῷ περὶ τῶν ποιητῶν ἱερέα φησὶν αὐτὸν τοῦ Κλαρίου Ἀπόλλωνος, ἐκ προγόνων δεξάμενον τὴν ἱερωσύνην. καὶ αὐτὸς δὲ ὑπὲρ ἑαυτοῦ ἐν τῷ τέλει τῆς βίβλου φησί·

τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολίχνη.

Κλάρος δὲ τόπος ἐστὶν Ἀπόλλωνος ἱερός. Υἱὸν δέ φησιν αὐτὸν Δαμναίου οὕτω λέγων·

αἰνέσσεις υἷα πολυμνήστοιο Δαμναίου.

Χρόνῳ δὲ ἐγένετο κατὰ Ἄτταλον τὸν τελευταῖον ἄρξαντα Περγάμου, ὃς κατελύθη ὑπὸ Ῥωμαίων, ᾧ προςφωνεῖ που λέγων οὕτως·

Τευθρανίδης, ὃς κλῆρον ἀεὶ πατρώϊον ἴσχεις,
κέκλυθι· μηδ' ἄμνηστον ἀπ' οὔατος ὕμνον ἐρύξῃς,
Ἄτταλ', ἐπεὶ σέο ῥίζαν ἐπέκλυον Ἡρακλῆος,
εἰςέτι Λυσιακῆς τε περίφρονος, ἣν Πελοπηῒς
Ἱπποδάμεια φύτευσεν, ὅτ' Ἄπιδος ἤρατο τιμήν.

Διέτριψε δὲ ἐν Αἰτωλίᾳ τοὺς πλείονας χρόνους, ὡς φανερὸν ἐκ τῶν περὶ Αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως, ποταμῶν τε τῶν περὶ Αἰτωλίαν καὶ τόπων

ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεως, ἔτι δὲ καὶ φυτῶν ἰδιότητος.

---

### Ἐκ τοῦ γένους καὶ βίου Ἀράτου τοῦ ποιητοῦ.

Οἵ δὲ λέγουσι, Νίκανδρον τὸν Κολοφώνιον μετ' Ἀράτου Ἀντιγόνῳ (τῷ Γονατᾷ) συγκεχρονικέναι, καὶ Ἄρατον μὴ εἶναι ἐπιστήμονα τῶν οὐρανίων, μήτε Νίκανδρον τῶν ἰατρικῶν, (λέγουσι γὰρ, ὡς ἄρα ὁ Ἀντίγονος Ἀράτῳ μὲν, ὄντι ἰατρῷ, ἐπέταξε τὰ Φαινόμενα γράψαι, Νικάνδρῳ δὲ, ἀστρολόγῳ ὑπάρχοντι, τὰ Θηριακὰ καὶ τὰ Ἀλεξιφάρμακα· ὅθεν καὶ ἑκάτερον αὐτῶν ἐσφάλθαι κατολισθαίνοντα ἐπὶ τὰ ἴδια τῆς τέχνης) ψεύδονται. Ἀγνοοῦσι γὰρ, ὡς οὐ συνήκμασε τῷ Ἀράτῳ Νίκανδρος, ἀλλ' ἔστιν αὐτοῦ πολὺ νεώτερος. Ἀντίγονος γὰρ, ᾧ συνεγένετο Ἄρατος, κατὰ τὸν πρῶτον καὶ δεύτερον γέγονε Πτολεμαῖον, Νίκανδρος δὲ κατὰ τὸν πέμπτον.

---

# AD GENVS NICANDRI ANNOTATIONES.

*Φασηλίτης*] Vulgatum *Φασιλήτης* iam olim correxit Holstein ad Steph. Byz. p. 342. Deinceps *ἐν τῇ* annotatum est a viro docto tanquam scripturae varietas in margine editionis Coloniensis, quam Argentorati commoranti mihi submiserat doctissimus Baro de Sancta Cruce.

*Αἰτωλὸν τὸ γένος*] Argumentum opinionis si quod attulerat Dionysius, erat sine dubio leuissimum. Rectius igitur idem in altero libro Clarium vel Colophonium fecit Nicandrum. Sed leuitatem tantam in Critico Dionysio fuisse, quis credat centonis sartori? Aetoliae notitiam multam fuisse in poeta Nicandro, ita vt plures ibi annos commoratus fuisse videatur, testimonio sunt *Αἰτωλικῶν* libri, quos passim laudant scriptores Nicandro posteriores. Ceterum nescio, quem *Νίκανδρον Αἰαντίδην* e Pleiade Alexandrina cum Apollonio Argonauticorum scriptore narret Tzetzes de vita Lycophronis p. 263. ed. nuperae Lipsiensis.

*περὶ τῶν ποιητῶν*] Articulum ex Goett. inserui, vnde etiam ordinem verborum vulgarem *τὴν ἱερωσύνην δεξάμενον* mutaui. Idem postea dabat *περὶ ἑαυτοῦ* (vulgo est *αὐτοῦ*) — *τοῦ βιβλίου.* Contra Colon. Editionis margo *καὶ ἐκ προγόνων* etc. dabat.

*ἱερός*] Scholiastes recentior Goett. in margine addit *ἐν Κωφῶνι* (voluit *Κολοφῶνι*), *ἡ πόλις Ἰωνίας.*

*Δαμναίου*] Goetting. cum Colon. margine *Δαμαίου* bis scriptum habet: deinde idem Goett. *αἰνήσεις νίεῖα.* Verba *φησὶν αὐτὸν* in *ἑαυτὸν* mutare non sum ausus, quanquam ita interpretanda esse manifestum sit. Damnaei filium si Nicander ipse se professus fuit, quomodo fieri potuit, vt Suidas aut quem is exscripsit Xenophanem Nicandri patrem nominaret? Mirum etiam, Eudociam, quae Suidam compilare solet aut cum eo conspirat in Violeto, in Nicandro sequi scriptorem hunc nostrum anonymum. Ita enim illa: *Νίκανδρος ὁ ἰατρὸς, ὁ καὶ ποιητὴς, Αἰτωλὸς τὸ γένος ἦν καὶ ἱερεὺς Κλαρίου Ἀπόλλωνος, ἐκ προγόνων τὴν ἱερωσύνην δεξάμενος· ἔσχε δὲ πατέρα Δαμναῖον. Χρόνῳ δὲ ἐγένετο κατὰ τὸν Ἄτταλον τελευταῖον ἄρξαντα Περγάμου, ὃς κατελύθη ὑπὸ Ῥωμαίων. Διέτριψε δὲ ἐν Αἰτωλίᾳ τοὺς πλείονας χρόνους, ὡς φανερὸν ἐκ τῶν περὶ Αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως, ποταμῶν τε τῶν περὶ Αἰτωλίαν καὶ*

*τόπων τῶν ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεων, ἔτι δὲ καὶ φυτῶν ἰδιότητος ἀέρος τε καὶ εὐκρασίας.* Postremo additamento facile caremus.

*κατὰ Ἄτταλον τὸν τελευταῖον*] Sic scripsi cum Goett. *τὸν τελευτ.* etiam Colon. margo. Vulgo *κατὰ τὸν Ἄτταλον τελ.*

*προςφωνεῖ που*] Ex Goett. *που* inserui.

*ὅς — ἴσχεις*] Goett. cum Colon. margine *ᾧ*, quae lectio quo referenda sit, docet varietas *ἴσχων* in margine Colon. annotata. Fuerat scilicet antea scriptum *ᾧ — ἴσχων.*

*Ἱπποδάμεια*] Goett. *Ἱπποδάμη ἐφύτευσεν, ὅθ' Ἄπιδος.* Etiam Colon. margo *Ἱπποδάμη ἐφύτευσε* dat. Apis est Phoronei filius, a quo Peloponnesum antea Apiam vocatam fuisse narrabant quidam Graecorum. Cf. ad Apollodori Biblioth. 2. c. 1. Heynium pag. 242. Lysidice fuit Pelopis filia, Mestori nupta; Lysiacen non noui, nec habet nomen similem graecis formam. Teuthranides dicitur Attalus a Teuthra, cuius generis auctor Hercules et Lysiace Hippodamae filia fuisse dicitur.

*περὶ Αἰτωλίας*] Male Goett. *Αἰτωλίαν.* In eodem Scholiastes recentior addit: *ζήτει τὴν ὑπόθεσιν εἰς τὸ τέλος τοῦ περιηγητοῦ.* quibus verbis argumentum in Periegesin Dionysii scriptum significari videtur.

*ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων*] Haec verba, quippe ab hoc loco et consilio scriptoris aliena, delenda visa sunt auctori annotationis adscriptae margini Coloniensis Editionis mecum communicatae a libero Barone de Ste Croix.

Ceterum Dionysii narrationem de sacerdotio Clarii Apollinis, quod Nicander a maioribus traditum habuisse dicitur, falsa interpretatione niti videri versus 11. poetae initio Alexipharmacorum,

*ἑζόμενος τριπόδεσσι παρὰ Κλαρίοις Ἑκάτοιο,*

vbi rectius scribitur *ἑζόμενοι*, vt posteri Ionis et Creusae intelligantur, dixi ad illum locum in Annotatione p. 83. De patria Colophone sibi cum Homero communi gloriari videtur Nicander in extremo Theriacorum versu; vbi videbis annotationem. Auctor vitae Homeri pag. 283. ed. Galei: *Ἀντίμαχος καὶ Νίκανδρος Κολοφώνιον Ὅμηρον φασι γενέσθαι.* Si qui Clarium vocarunt Nicandrum, nullum est discrimen. Nam Clarus et Notium ditionis Colophoniorum fuerunt. Hinc Antimachum ipsum Clarium vocauit Ouidius Tristium 1, 5. *Nec tantum Clario Lyde est dilecta poetae.*

## II.

## Ad vitae Arati Fragmentum.

Fragmentum huc traductum est ex editione Buhliana T. II. p. 432. quo deriuatum fuit ex Editione Victorii. Narrationem aut, si mauis, fabulam reperies in Fragmento Matritensi de Vita Arati ibidem repetito p. 443. *Ἐνίοις ἀρέσκει Ἄρατον ἰατρὸν γεγονέναι τῇ ἐπιστήμῃ, ὅλον δὲ γεγονέναι γνήσιον Νικάνδρῳ τῷ μαθηματικῷ γράψαι τὰ Θηριακὰ καὶ δοῦναι Νικάνδρῳ, λαβεῖν τε παρ' αὐτοῦ τὰ Φαινόμενα καὶ ὡς ἴδια γράψαι.* Quae scripta ab homine latino graece balbutiente si sententia constare velis, scribendum censeo et distinguendum: *φίλον δὲ γεγονότα γνήσιον Νικάνδρῳ τῷ μαθηματικῷ, γράψαι* et reliqua.

# ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΑ.

Ῥεῖά κέ τοι μορφάς τε σίνη τ' ὀλοφώϊα θηρῶν,
ἀπροϊδῆ τύψαντα, λύσιν θ' ἑτεραλκέα κήδευς,
φίλ' Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν,
ἔμπεδα φωνήσαιμι· σὲ δ' ἂν πολυεργὸς ἀροτρεὺς
βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ' ὕλην
ἢ καὶ ἀροτρεύοντι βάλῃ ἐπὶ λοιγὸν ὀδόντα,
τοῖα περιφρασθέντος ἀλεξητήρια νούσων.
Ἀλλ' ἤτοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνίγρους
ἑρπηστὰς, ἔχιάς τε, καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο μελισσήεντος ἐν ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησοῖο.
Τὸν δὲ χαλαζήεντα κόρη Τιτηνὶς ἀνῆκε
σκορπίον, ἐκ κέντροιο τεθηγμένον, ἦμος ἐπέχρα
Βοιωτῷ τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων.
Αὐτὰρ ὅγε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς
σκορπίος ἀπροϊδὴς, ὀλίγῳ ὑπὸ λᾶϊ λοχήσας.
Τοῦ δὲ τέρας περίσημον ἐν ἄστρασιν ἀπλανὲς αὔτως
οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται.

Ἀλλὰ σύ γε σταθμοῦ τε καὶ αὐλίου ἑρπετὰ φύγδην
ῥηϊδίως ἐκ πάντα διώξεαι, ἢ ἀπ' ἐρίπνης,
ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος, ἦμος ἀν' ἀγροὺς,
φεύγων αὐαλέου θέρεος πυρόεσσαν ἀϋτμὴν,
αἴθριος ἐν καλάμῃ στορέσας ἀκρέσπερος εὕδῃς,
ἢ καὶ ἀν' ὑλήεντα παρὲκ λόφον, ἢ ἀνὰ βήσσης
ἐσχατιὴν, ὅθι πλεῖστα κινώπετα βόσκεται ὕλην,
δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας·
καί τε παρὲξ λιστρωτὸν ἅλω δρόμον, ἠδ' ἵνα ποίη
πρῶτα κυϊσκομένη σκιάει χλοάοντας ἰάμνους,
τῆμος ὅτ' αὐαλέων φολάδων ἀπεδύσατο γῆρας
μῶλυς ἐπιστείχων, ὅτε φωλεὸν εἴαρι φεύγων
ὄμμασιν ἀμβλώσσει· μαράθου δέ ἑ νήχυτος ὅρπηξ
βοσκηθεὶς ὠκύν τε καὶ αὐγήεντα τίθησι.
Θιμβρὴν δ' ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα,
καπνείων ἐλάφοιο πολυγλώχινα κεραίην,
ἄλλοτε δ' ἀζαλέην δαίων Γαγγίτιδα πέτρην,
ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή·
ἐν δὲ πολυσχιδέος βλήτρου πυρὶ βάλλεο χαίτην·
ἢ σύ γε καγχρυόεσσαν ἑλὼν περιθαλπέα ῥίζην,
καρδάμῳ ἀμμίξας ἰσοελκέϊ· μίσγε δ' ἔνοδμον
ζορκὸς ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστὰς,
καί τε μελανθίου βαρυαέος, ἄλλοτε θείου,
ἄλλοτε δ' ἀσφάλτοιο φέρων ἰσοελκέα μοῖραν·
ἠὲ σύ γε Θρήϊσσαν ἐνὶ φλέξας πυρὶ λᾶαν,
ἥ θ' ὕδατι βρεχθεῖσα σελάσσεται· ἔσβεσε δ' αὐτὴν
τυτθὸν ὅτ' ὀδμήσηται ἐπιῤῥανθέντος ἐλαίου.
Τὴν ἀπὸ Θρηϊκίου νομέες ποταμοῖο φέρονται,
ὃν πόντον καλέουσι· τόθι Θρήϊκες ἀμορβοὶ
κρειοφάγοι μήλοισιν ἀεργηλοῖσιν ἕπονται.

Ναὶ μὴν καὶ βαρύοδμος ἐπὶ φλογὶ μοιρηθεῖσα
χαλβάνη, ἄκνηστίς τε, καὶ ἡ πριόνεσσι τομαίη
κέδρος, πουλυόδουσι καταψηχθεῖσα γενείοις,
ἐν φλογιῇ καπνηλὸν ἄγει καὶ φύξιμον ὀδμήν.
Τοῖς δὴ χήραμα κοῖλα καὶ ὑληωρέας εὐνὰς
κεινώσεις, δαπέδῳ δὲ πεσὼν ὕπνοιο κορέσσῃ.
Εἰ δὲ τὰ μὲν καμάτου ἐπιδεύεται, ἄγχι δέ τοι νὺξ
αὖλιν ἄγει, κοίτου δὲ λιλαίεαι ἔργον ἀνύσσας,
τῆμος δὴ ποταμοῖο πολυῤῥαγέος κατὰ δίνας
ὑδρηλὴν καλάμινθον ὀπάζεο χαιτήεσσαν·
πολλὴ γὰρ λιβάσιν παραέξεται, ἀμφί τε χείλη
ἔρσεται, ἀγραύλοισιν ἀγαλλομένη ποταμοῖσιν.
Ἦ σύ γ' ὑποστορέσαιο λύγον πολυανθέα κόψας,
ἢ πολιὸν βαρύοδμον, ὃ δὴ ῥίγιστον ὄδωδεν·
ὣς δ' αὔτως ἐχίειον, ὀριγανόεσσά τε χαίτη,
καὶ μὴν ἀβροτόνοιο, τό τ' ἄγριον οὔρεσι θάλλει
ἀργεννὴν ὑπὸ βῆσσαν, ἢ ἑρπύλλοιο νομαίου,
ὅς τε φιλόζωος νοτερὴν ἐπιβόσκεται αἶαν
ῥιζοβόλος, λασίοισιν ἀεὶ φύλλοισι κατήρης.
Φράζεσθαι δ' ἐπέοικε χαμαιζήλοιο κονύζης
ἄγνου τε βρύα λευκὰ, καὶ ἐμπρίοντ' ὀνόγυρον·
αὔτως τετρήχοντα ταμὼν ἀπὸ κλήματα σίδης,
ἠὲ καὶ ἀσφοδέλοιο νέον πολυαυξέα μόσχον,
στρύχνον τε, σκύρα τ' ἐχθρὰ, τά τ' εἴαρι σίνατο βούτην,
ἦμος ὅταν σκιρόωσι βόες καυλεῖα φαγοῦσαι.
Ναὶ μὴν πευκεδάνοιο βαρυπνόου, οὗ τε καὶ ὀδμὴ
θηρί' ἀποσσεύει τε καὶ ἀντιόωντα διώκει.
Καὶ τὰ μὲν εἰκαίῃ παράθου καὶ ἀγραυλέϊ κοίτῃ,
ἄλλα δὲ φωλειοῖσι, τὰ δ' ἐμφράξαιο χεειαῖς.
Εἴ γε μὲν ἐς τεῦχος κεραμήϊον ἠὲ καὶ ὄλπην

κεδρίδας ἐνθρύπτων λιπόοις εὐήρεα γυῖα,
ἢ καὶ πευκεδάνοιο βαρυπνόου, ἄλλοτ᾽ ὀρείου
αὖα καταψήχοιο λίπει ἔνι φύλλα κονύζης·
αὔτως δ᾽ ἀλθήεντ᾽ ἐλελίσφακον, ἐν δέ τε ῥίζαν
σιλφίου, ἣν κνηστῆρι κατατρίψειαν ὀδόντες.

Πολλάκι καὶ βροτέων σιάλων ὑποέτρεσαν ὀδμήν.
Εἰ δὲ σύ γε τρίψας ὀλίγῳ ἐνὶ βάμματι κάμπην
κηπείην, δροσόεσσαν, ἐπὶ χλωρηΐδα νώτῳ,
ἠὲ καὶ ἀγριάδος μαλάχης ἐγκύμονα καρπὸν,
γυῖα πέριξ λιπάσειας, ἀναίμακτές κεν ἰαύοις.
Ψήχεο δ᾽ ἐν στέρνῳ προβαλὼν μυλόεντι θυείης
ἐσθλοῦ ἀβροτάνοιο δύω κομόωντας ὀράμνους
καρδάμῳ ἀμμίγδην· ὀδελοῦ δέ οἱ αἴσιος ὁλκή·
ἐν δὲ χεροπλήθη καρπὸν νεοθηλέα δαύκου
λειαίνειν τριπτῆρι· τὰ δὲ τροχοειδέα πλάσσων,
τέρσαι ὑπὸ σκιόεντι βαλὼν ἀνεμώδεϊ χώρῳ·
αὖα δ᾽ ἐν ὄλπῃ θρύπτε, καὶ αὐτίκα γυῖα λιπαίνοις.

Εἴ γε μὲν ἐκ τριόδοιο μεμιγμένα κνώδαλα χύτρῳ
ζωὰ νέον θορνύντα καὶ ἔνθορα τοιάδε βάλλοις,
δήεις οὐλομένῃσιν ἀλεξητήριον ἄταις·
ἐν μὲν γὰρ μυελοῖο νεοσφαγέως ἐλάφοιο
δραχμάων τρίφατον δεκάδος καταβάλλεο βρῖθος,
ἐν δὲ τρίτην μοῖραν ῥοδέου χοὸς, ἥν τε θυωροὶ
πρώτην μεσσατίην τε πολύτριπτον καλέουσιν·
ἰσόμορον δ᾽ ὠμοῖο χέειν ἀργῆτος ἐλαίου,
τετράμορον κηροῖο· τὰ δ᾽ ἐν περιηγέϊ γάστρῃ
θάλπε κατασπέρχων, ἔστ᾽ ἂν περὶ σάρκες ἀκάνθης
μελδόμεναι θρύπτωνται· ἔπειτα δὲ λάζεο τυκτὴν
εὐεργῆ λάκτιν, τὰ δὲ μυρία πάντα ταράσσειν
συμφύρδην ὀφίεσσιν· ἑκὰς δ᾽ ἀπόερσον ἀκάνθας·

καὶ γὰρ ταῖς κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός.
γυῖα δὲ πάντα λίπαζε καὶ εἰς ὁδὸν, ἢ ἐπὶ κοῖτον,
ἢ ὅταν αὐαλέου θέρεος μεθ' ἀλώϊα ἔργα
ζωσάμενος θρίναξι βαθὺν διακρίνεαι ἄντλον.
Εἰ δέ που ἐν δακέεσσιν ἀφαρμάκτῳ χροῒ κύρσῃς
ἄκμηνος σίτων, ὅτε δὴ κακὸν ἄνδρας ἰάπτει,
αἶψα κὲν ἡμετέρῃσιν ἐρωήσειας ἐφετμαῖς.
Τῶν ἤτοι θήλεια παλίγκοτος ἀντομένοισι,
δάγματι πλειοτέρη καὶ ὁλκαίην ἐπὶ σειρήν·
τοὔνεκα καὶ θανάτοιο θοώτερος ἵξεται αἶσα.
Ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι,
Πληϊάδων φάσιας δεδοκημένος, αἵ θ' ὑπὸ ταύρου
ὁλκαίην ψαίρουσαι ὀλίζωνες φορέονται·
ἢ ὅτε σὺν τέκνοισι θερειομένοισιν ἀβοσκὴς
φωλειοῦ λοχάδην ὑπὸ γωλεὰ διψὰς ἰαύει·
ἢ ὅτε λίπτῃσι μεθ' ἑὸν νομὸν, ἢ ἐπὶ κοῖτον
ἐκ νομοῦ ὑπνώσουσα κίῃ κεκορημένη ὕλης,
μή σύ γ' ἐνὶ τριόδοισι τύχῃς, ὅτε δάγμα πεφυζὼς
περκνὸς ἔχις θύῃσι τυπὴν ψολόεντος ἐχίδνης·
ἡνίκα, θορνυμένου ἔχιος, θολερῷ κυνόδοντι
θουρὰς ὀδὰξ ἐμφῦσα κάρην ἀπέκοψεν ὁμεύνου·
οἱ δὲ πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
γεινόμενοι ἐχιῆες, ἐπεὶ, διὰ μητρὸς ἀραιὴν
γαστέρ' ἀναβρώσαντες, ἀμήτορες ἐξεγένοντο·
οἴη γὰρ βαρύθει ὑπὸ κύματι· τοὶ δὲ καθ' ὕλην
ᾠοτόκοι ὄφιες λεπυρὴν θάλπουσι γενέθλην.
Μήδ' ὅτε ῥικνῆεν φολίδων ἀπὸ γῆρας ἀμέρσας
ἂψ ἀναφοιτήσῃ νεαρῇ κεχαρημένος ἥβῃ·
ἢ ὁπότε σκαρθμοὺς ἐλάφων ὀχεῇσιν ἀλύξας
ἀνδρὸς ἐνισκήψῃ χολόων θυμοφθόρον ἰόν·

ἔξοχα γὰρ δολιχοῖσι κινωπισταῖς κοτέουσι
νεβροτόκοι καὶ ζόρκες· ἀνιχνεύουσι δὲ πάντα
τρόχμαλά θ' αἱμασιάς τε καὶ εἰλυοὺς ἐρέοντες,
σμερδαλέῃ μυκτῆρος ἐπισπέρχοντες ἀϋτμῇ.
Ναὶ μὴν καὶ νιφόεσσα φέρει δυσπαίπαλος Ὄθρυς
φοινὰ δάκη, κοίλη τε φάραγξ καὶ τρηχέες ἀγμοὶ,
καὶ λέπας ὑλῆεν, τόθι δίψιος ἐμβατέει σήψ.
Χροιὴν δ' ἀλλόφατόν τε καὶ οὐ μίαν οἰαδὸν ἴσχει,
αἰὲν ἐειδόμενος χώρῳ, ἵνα χήραμα τεύχει.
Τῶν οἱ μὲν λιθακάς τε καὶ ἕρμακας ἐνναίοντες
παυρότεροι τρηχεῖς τε καὶ ἔμπυροι· οὔ κεν ἐκείνων
ἀνδράσι δάγμα πέλει μεταμώνιον, ἀλλὰ κακηθές.
Ἄλλος δ' αὖ κόχλοισι δομὴν ἰνδάλλεται αἴης·
ἄλλῳ δ' ἐγχλοάουσα λεπὶς περιμήκεα κύκλον
ποικίλον αἰόλλει· πολέες δ' ἀμάθοισι μιγέντες
σπείρῃ λεπρύνονται ἀλινδόμενοι ψαμάθοισι.
Φράζεο δ' αὐαλέαις μὲν ἐπιφρικτὴν φολίδεσσιν
ἀσπίδα φοινήεσσαν, ἀμυδρότατον δάκος ἄλλων.
Ἡ καὶ σμερδαλέον μὲν ἔχει δέμας· ἐν δὲ κελεύθῳ
νωχελὲς ἐξ ὁλκοῖο φέρει βάρος· ὑπναλέοις δὲ
αἰὲν ἐπιλλίζουσα φαείνεται ἐνδυκὲς ὄσσοις.
τῇ μὲν γάρ τε κέλευθος ὁμῶς κατ' ἐναντίον ἕρπει
ἀτραπὸν ὁλκαίην δολιχῷ μηρύγματι γαστρός.
Ἀλλ' ὅταν ἢ δοῦπον νέον οὔασιν ἠέ τιν' αὐδὴν
ἀθρήσῃ, νωθρὸν μὲν ἀπὸ ῥέθεος βάλεν ὕπνον,
ὁλκῷ δὲ τροχόεσσαν ἅλων εἱλίξατο γαίῃ,
σμερδαλέον δ' ἀνὰ μέσσα κάρη πεφρικὸς ἀείρει.
Τῆς ἤτοι μῆκος μὲν, ὃ κύντατον ἔτρεφεν αἶα,
ὀργυιῇ μετρητόν· ἀτὰρ περιβάλλεται εὖρος,
ὅσσον τ' αἰγανέης δορατοξόος ἤνυσε τέκτων,

εἰς ἐνοπὴν ταύρων τε βαρυφθόγγων τε λεόντων.
Χροιὴ δ' ἄλλοτε μὲν ψαφαρὴ ἐπιδέδρομε νώτοις,
ἄλλοτε μηλινόεσσα καὶ αἰόλος, ἄλλοτε τεφρὴ,
πολλάκι δ' αἰθαλόεσσα μελαινομένῃ ὑπὸ βώλῳ
Αἰθιόπων, οἵην τε πολύστομος εἰς ἅλα Νεῖλος
πλησάμενος κατέχευεν ἄσιν, προὔτυψε δὲ πόντῳ.
Δοιοὶ δ' ἐν σκυνίοισιν ὑπερφαίνουσι μετώπου
οἷα τύλοι· τὸ δ' ἔνερθεν ὑπαιφοινίσσεται ὄθμα
πολλὸν ὑπὸ σπείρης· ψαφαρὸς δ' ἀναπίμπραται αὐχὴν
ἄκριτα ποιφύσσοντος, ὅτ' ἀντομένοισιν ὁδίταις
ἄϊδα προςμάξηται, ἐπὶ ζαμενὲς κοτέουσα.
Τῆς ἤτοι πίσυρες κοῖλοι ὑπένερθεν ὀδόντες
ἀγκύλοι ἐν γναθμοῖς δολιχήρεες ἐῤῥίζωνται
ἰοδόκοι· μύχατος δὲ χιτὼν ὑμένεσσι καλύπτει·
ἔνθεν ἀμείλικτον γυίοις ἐνερεύγεται ἰόν.
Ἐχθρῶν που τέρα κεῖνα καρήασιν ἐμπελάσειε·
σαρκὶ γὰρ οὔτε τι δάγμα φαείνεται, οὔτε δυσαλθὲς
οἶδος ἐπιφλέγεται· καμάτου δ' ἄτερ ὄλλυται ἀνήρ·
ὑπνηλὸν δ' ἐπὶ νῶκαρ ἄγει βιότοιο τελευτήν.
Ἰχνεύμων δ' ἄρα μοῦνος ἀκήριος ἀσπίδος ὁρμὴν
ἠμὲν ὅτ' ἐς μόθον εἶσιν ἀλεύεται, ἠδ' ὅτε λυγρὰ
θαλπούσης ὄφιος κηροτρόφου ὠεὰ γαίῃ
πάντα διεσκήνιψε, καὶ ἐξ ὑμένων ἐτίναξε
δαρδάπτων, ὀλοοῖς δὲ συνεῤῥαθάγησεν ὀδοῦσι.
Μορφὴ δ' ἰχνεύταο κινωπέτου οἷον ἀμυδρῆς
ἴκτιδος, ἥ τ' ὄρνισι κατοικιδίῃσιν ὄλεθρον
μαίεται, ἐξ ὕπνοιο καθαρπάζουσα πετεύρων·
ἔνθα λέχος τεύχονται ἐπ' ἴκριον, ἢ καὶ ἀφαυρὰ
τέκνα τιθαιβώσσουσιν, ὑπὸ πλευρῇσι θέρουσαι.
Ἀλλ' ὅταν Αἰγύπτοιο παρὰ θρυόεντας ἰάμνους

ἀσπίσι μῶλον ἄγῃσιν ἀθέσφατον εἱλικοέσσαις,
αὐτίχ' ὁ μὲν ποταμόνδε καθήλατο, τύψε δὲ κώλοις
τάρταρον ἰλυόεσσαν, ἄφαρ δ' ἐφορύξατο γυῖα
πηλῷ, ἀλινδηθεὶς ὀλίγον δέμας, εἰσόκε λάχνην
σείριος ἀζήνῃ, τεύξῃ δ' ἄγναμπτον ὀδόντι.
Τῆμος δ' ἠὲ κάρη λιχμήρεος ἑρπηστᾶο
σμερδαλέης ἔβρυξεν ἐπάλμενος, ἠὲ καὶ οὐρῆς
ἁρπάξας βρυόεντος ἔσω ποταμοῖο κύλισσεν.
Εὖ δ' ἂν ἐχιδνήεσσαν ἴδοις πολυδερκέα μορφὴν,
ἄλλοτε μὲν δολιχὴν, ὁτὲ παυράδα· τοῖον ἀέξει
Εὐρώπη τ' Ἀσίη τε· τὰ δ' οὐκ ἐπιείκελα δήεις.
Ἤτοι ἀν' Εὐρώπην μὲν ὀλίζονα, καί θ' ὑπὲρ ἄκρους
ῥώθωνας κεραοί τε καὶ ἀργίλιπες τελέθουσιν,
οἱ μὲν ὑπὸ Σκείρωνος ὄρη Παμμώνιά τ' αἴπη,
Ῥυπαῖον, Κόρακός τε πάγον, πολιόν τ' Ἀσέληνον.
Ἀσὶς δ' ὀργυιόεντα καὶ ἐς πλέον ἑρπετὰ βόσκει,
οἷα περὶ τρηχὺν Βουκάρτερον, ἢ καὶ ἐρυμνὸς
Αἰσαγέης πρηὼν καὶ Κέρκαφος ἐντὸς ἐέργει.
Τῶν ἤτοι βρεχμοὶ μὲν ἐπὶ πλάτος, ἠδ' ὑπὲρ ἄκρον
ὁλκαῖον σπείρης κολοβὴν ἐπελίσσεται οὐρὴν,
ἀργαλέαις φρίσσουσαν ἐπηετανὸν φολίδεσσι.
Νωθεῖ δ' ἔνθα καὶ ἔνθα διὰ δρυμὰ νίσσεται ὁλκῷ.
Πᾶς δέ τοι ὀξυκάρηνος ἰδεῖν ἔχις, ἄλλοτε μῆκος
μάσσων, ἄλλοτε παῦρος· ἀκιδνότερος δὲ κατ' εὖρος
νηδύος· ἡ δὲ μύουρος ὑφ' ὁλκαίη τετάνυσται,
ἴσως μὲν πεδανὴ δολιχοῦ ὑπὸ πείρασιν ὁλκοῦ,
ἴσως δ' ἐκ φολίδων τετριμμένη· αὐτὰρ ἐνωπῆς
γλήνεα φοινίσσει τεθοωμένος· ὀξὺ δὲ δικρῇ
γλώσσῃ λιχμάζων νέατον σκωλύπτεται οὐρήν.
[Κωκυτὸν δ' ἐχιναῖον ἐπικλείουσιν ὁδῖται.]

Τοῦ μὲν ὕπερ κυνόδοντε δύω χροῒ τεκμαίρονται
ἰὸν ἐρευγόμενοι· πλέονες δέ τοι αἰὲν ἐχίδνης.
Οὔλῳ γὰρ στομίῳ ἐμφύεται· ἀμφὶ δὲ σαρκὶ
ῥεῖά κεν εὐρυνθέντας ἐπιφράσσαιο χαλινούς.
Τῆς καὶ ἀπὸ πληγῆς φέρεται λίπει ἴκελος ἰχὼρ,
ἄλλοτε δ' αἱματόεις, ποτὲ δ' ἄχροος· ἡ δ' ἐπί οἱ σὰρξ
πολλάκι μὲν χλοάουσα βαρεῖ ἀναδέδρομεν οἴδει,
ἄλλοτε φοινίσσουσα, τοτ' εἴδεται ἄντα πελιδνή·
ἄλλοτε δ' ὑδατόεν κυέει βάρος· αἱ δὲ θαμειαὶ,
πομφόλυγες τὼς, ἔν γε πυρὶ φλύκταιναι ἀραιαὶ
οἷα πυρικμήτοιο χροὸς πλαδόωσιν ὕπερθεν.
Σηπεδόνες δέ οἱ ἀμφὶς ἐπίδρομοι, αἱ μὲν ἔνερθεν,
αἱ δὲ κατὰ πληγὴν ἰοειδέα λοιγὸν ἱεῖσαι.
Πᾶν δ' ἐπί οἱ δριμεῖα δέμας καταβόσκεται ἄτη
ὀξέα πυρπολέουσα· κατ' ἀσφάραγον δέ τε λυγμοὶ
κίονά τε ξυνιόντες ἐπασσύτεροι κλονέουσιν.
Ἀμφὶ καὶ ἰλίγγοις δέμας ἄχθεται· αἶψα δὲ γυίοις
ἀδρανίη βαρύθουσα καὶ ἰξύϊ μέρμερος ἵζει·
ἐν δὲ κάρῃ σκοτόεν βάρος ἵσταται· αὐτὰρ ὁ κάμνων
ἄλλοτε μὲν δίψῃ φάρυγα ξηραίνεται αὖον,
πολλάκι δ' ἐξ ὀνύχων ἴσχει κρύος· ἀμφὶ δὲ γυίοις
χειμερίη ζαλόωσα πέριξ βέβριθε χάλαζα.
Πολλάκι δ' αὖ χολόεντας ἀπήρυγε νηδύος ὄγκους
ὠχραίνων δέμας ἀμφίς· ὁ δ' αὖ νοτέων περὶ γυίοις
ψυχρότερος νιφετοῖο βολῆς περιχεύεται ἱδρώς.
Χροιὴν δ' ἄλλοτε μὲν μολίβου ζοφοειδέος ἴσχει,
ἄλλοτε δ' ἠερόεντα, τοτ' ἄνθεσιν εἴσατο χαλκοῦ.

Εὖ δ' ἂν καὶ δολόεντα μάθοις ἐπιόντα κεράστην,
ἠΰτ' ἔχιν· τῷ γάρ τε δομὴν ἰνδάλλεται ἴσην·
ἤτοι ὁ μὲν κόλος ἐστίν· ὁ δ' αὖ κεράεσσι πεποιθὼς,

*ἄλλοτε μὲν πισύρεσσι, τοτ' ἐν δοιοῖσι κεράστης.*
*Χροιῇ δ' ἐν ψαφαρῇ λεπρύνεται· ἐν δ' ἀμάθοισιν*
*ἢ καὶ ἁματροχιῇσι παρὰ στίβον ἐνδυκὲς αὔει.*
*Τῶν ἤτοι σπείρῃσιν ὁ μὲν θοὸς ἀντία θύνει*
*ἀτραπὸν ἰθεῖαν δολιχῷ μηρύγματι γαστρός·*
*αὐτὰρ ὅγε σκαιὸς μεσάτῳ ἐπαλίνδεται ὁλκῷ,*
*οἶμον ὁδοιπλανέων σκολιὴν τετρηχότι νώτῳ,*
*τράμπιος ὁλκαίης καμάτῳ ἴσος, ἥ τε δι' ἅλμης*
*πλευρὸν ὅλον βάπτουσα, κακοσταθέοντος ἀήτεω,*
*εἰς ἄνεμον βεβίηται ἀπόκρουστος λιβὸς οὔρῳ.*
*Τοῦ μὲν, ὅταν βρύξῃσιν, ἀεικέλιον περὶ νύγμα,*
*ἥλῳ ἐειδόμενον, τυλόεν πέλει· αἱ δὲ πελιδναὶ*
*φλύκταιναι, πέμφιξιν ἐειδόμεναι ὑετοῖο,*
*δάγμα πέρι πλάζονται, ἀμυδρήεσσαι ἐσωπήν.*
*Ἤτοι ἀφαυρότερον τελέει πόνον· ἐννέα δ' αὐγὰς*
*ἠελίου μογέων ἐπιόσσεται, οἷσι κεράστης*
*οὐλόμενον, κακοεργὸν ἐνιχραύσῃ κυνόδοντα.*
*Διπλοῖς δ' ἐν βουβῶσι καὶ ἰγνύσιν ἀσκελὲς αὔτως*
*μόχθος ἐνιτρέφεται· πελιὸς δέ οἱ ἐμφέρεται χρώς·*
*τῶν δέ τε καμνόντων ὀλίγος περὶ ἄψεα θυμὸς*
*λείπεται ἐκ καματοιο· μόγις γε μὲν ἔκφυγον αἶσαν.*
*Σῆμα δέ τοι δάκεος αἱμοῤῥόου αὐτίκ' ἐνίσπω,*
*ὅς τε κατ' εἰλυθμοὺς πετρώδεας ἐνδυκὲς αὔει,*
*τρηχὺν ὑπ' ἄρπεζαν θαλάμην ὀλιγήρεα τεύχων·*
*ἔνθ' εἰλυθμὸν ἔχεσκεν, ἐπεί τ' ἐκορέσσατο φορβῆς.*
*Μήκει μὲν ποδὸς ἴχνος ἰσάζεται, αὐτὰρ ἐπ' εὖρος*
*τέτριπται μύουρος ἀπὸ φλογέοιο καρήνου·*
*ἄλλοτε μὲν χροιῇ ψολόεις, ὁτὲ δ' ἔμπαλιν αἰθός.*
*Δειρὴν δ' ἐσφήκωται ἅλις· πεδανὴ δέ οἱ οὐρὴ*
*ζαχρειὲς θλιφθεῖσα κατομφάλιος τετάνυσται.*

Τοῦ μὲν ὑπὲρ νιφόεντα κεράατα δοιὰ μετώπῳ
ἔγκειται, πάρνοψι φάη λογάδας τε προσεικής·
σμερδαλέον δ᾽ ἐπί οἱ λαμυρὸν πέφρικε κάρηνον.
δοχμὰ δ᾽ ἐπισκάζων ὀλίγον δέμας οἷα κεράστης
μέσσου ὅγ᾽ ἐκ νώτου βαιὸν πλόον αἰὲν ὀκέλλει,
γαίῃ ὑποθλίβων νηδύν· φολίσιν δὲ καὶ οἴμῳ
παῦρον ὑποψοφέων καλάμης χύσιν οἷα διέρπει.
Νύγματι δ᾽ ἀρχομένῳ μὲν ἐπιτρέχει ἄχροον οἶδος
κυάνεον· κραδίην δὲ κακὸν περιτέτροφεν ἄλγος·
γαστὴρ δ᾽ ὑδατόεσσα διέσσυτο· νυκτὶ δὲ πρώτῃ
αἷμα διὲκ ῥινῶν τε καὶ αὐχένος ἠδὲ καὶ ὤτων
πιδύεται, χολόεντι νέον πεφορυγμένον ἰῷ·
οὖρα δὲ φοινίσσοντα κατέδραμεν· αἱ δ᾽ ὑπὸ γυίοις
ὠτειλαὶ ῥήγνυνται, ἐπειγόμεναι χροὸς ἄζῃ.
Μή ποτέ τοι θήλει᾽ αἱμοῤῥοῒς ἰὸν ἐνείη·
τῆς γὰρ ὀδαξαμένης, τὰ μὲν ἀθρόα πίμπραται οὖλα,
ῥιζόθεν ἐξ ὀνύχων δὲ κατείβεται ἀσταγὲς αἷμα·
οἱ δὲ φόνῳ μυδόωντες ἀναπλείουσιν ὀδόντες.
Εἴ γ᾽ ἔτυμον, Τροίηθεν ἰοῦσ᾽ ἐχαλέψατο φύλοις
αἰν᾽ Ἑλένη, ὅτε νῆα πολύστροιβον παρὰ Νεῖλον
ἔστησαν, βορέαο κακὴν προφυγόντες ὁμοκλήν·
ἦμος ἀναψύχοντα κυβερνητῆρα Κάνωβον
Θώνιος ἐν ψαμάθοις ἀθρήσατο· τύψε γὰρ αὐτὸν
αὐχέν᾽ ἀποθλιφθεῖσα, καὶ ἐν βαρὺν ἤρυγεν ἰὸν
αἱμοροῒς θήλεια, κακὸν δέ οἱ ἔχραε κοῖτον.
Τῶν δ᾽ Ἑλένη μέσον ὁλκὸν ἐνέκλασε, θραῦσε δ᾽ ἀκάνθης
δεσμὰ πέριξ νωταῖα, ῥάχις δ᾽ ἐξέδραμε γυίων.
Ἐξ ὅθεν αἱμορόοι σκολιοπλανέες τε κεράσται
οἷοι χωλεύουσι κακηπελίῃ βαρύθοντες.
Εὖ δ᾽ ἂν σηπεδόνος γνοίης δέμας· ἀλλ᾽ ὁ μὲν εἴδει

αἱμορόῳ σύμμορφος, ἀτὰρ στίβον ἀντί' ὀκέλλει,
καὶ κεράων δέμας ἔμπλην ἄμμορον· ἡ δέ νυ χροιὴ
οἵηπερ δάπιδος λασίῳ ἐπιδέδρομε τέρφει·
κράατι δ' ἐμβαρύθει· ἐλάχεια δὲ φαίνεται οὐρὴ
ἐσσυμένης· σκολιὴν γὰρ ὁμῶς ἐπιτείνεται ἄκρην.
Τῆς δ' ἤτοι ὀλοὸν καὶ ἐπώδυνον ἔπλετο ἕλκος
σηπεδόνος· νέμεται δὲ μέλας ὀλοφώϊος ἰὸς
πᾶν δέμας· αὐαλέη δὲ περὶ χροῒ καρφομένη θρὶξ
σκίδναται, ὡς γήρεια καταψυχθέντος ἀκάνθης·
ἐκ μὲν γὰρ κεφαλῆς τε καὶ ὀφρύος ἀνδρὶ τυπέντι
ῥαίονται, βλεφάρων δὲ μέλαιν' ἐξέφθιτο λάχνη·
ἄψεα δὲ τροχόεντες ἐπιστίζουσι μὲν ἀλφοί,
λεῦκαι δ' ἀργινόεσσαν ἐπισσεύονται ἔφηλιν.
Ναὶ μὴν διψάδος εἶδος ὁμώσεται αἰὲν ἐχίδνη
παυροτέρης, θανάτου δὲ θοώτερος ἵξεται αἶσα,
οἷσιν ἐνιχρίμψῃ βλοσυρὸν δάκος· ἤτοι ἀραιὴ
αἰὲν ὑποζοφόωσα μελαίνεται ἄκροθεν οὐρή·
δάγματι δ' ἐμφλέγεται κραδίη πρόπαν· ἀμφὶ δὲ καύσῳ
χείλη ὑπ' ἀζαλέης αὐαίνεται ἄβροχα δίψης·
αὐτὰρ ὅγ', ἠΰτε ταῦρος ὑπὲρ ποταμοῖο νενευκὼς,
χανδὸν ἀμέτριτον δέχεται ποτὸν, εἰσόκε νηδὺς
ὀμφαλὸν ἐκρήξειε, χέῃ δ' ὑπεραχθέα φόρτον.
Ὠγύγιος δ' ἄρα μῦθος ἐν αἰζηοῖσι φορεῖται,
ὡς, ὁπότ' οὐρανὸν ἔσχε Κρόνου πρεσβίστατον αἷμα,
νειμάμενος κασίεσσιν ἑκὰς περικυδέας ἀρχὰς
ἰδμοσύνῃ, νεότητα γέρας πόρεν ἡμερίοισι
κυδαίνων· δὴ γάρ ῥα πυρὸς ληΐστορ' ἔνιπτον,
ἄφρονες· οὐ μὲν τῆς γε κακοφραδίης ἀπόναντο.
Νωθεῖ γὰρ κάμνοντες ἀμορβεύοντο λεπάργῳ
δῶρα· πολύσκαρθμος δὲ κεκαυμένος αὐχένα δίψῃ

ῥώετο· φωλειοῖσι δ' ἰδὼν ὁλκήρεα θῆρα
οὐλοὸν, ἐλλίτανευε κακῇ ἐπαλαλκέμεν ἄτῃ
σαίνων· αὐτὰρ ὁ βρῖθος, ὃ δή ῥ' ἀνεδέξατο νώτοις,
ᾔτεεν ἄφρονα δῶρον· ὁ δ' οὐκ ἀπανήνατο χρειοῖ.
Ἐξότε γηραλέον μὲν ἀπὸ φλόον ἑρπετὰ βάλλει
ὁλκήρη, θνητοὺς δὲ κακὸν περὶ γῆρας ὀπάζει·
νοῦσον δ' ἀργαλέην βρωμήτορος οὐλομένη θὴρ
δέξατο, καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει.
Νῦν δ', ἄγε, χερσύδροιο καὶ ἀσπίδος εἴρεο μορφὰς
ἰσαίας· πληγῇ δὲ κακήθεα σήμαθ' ὁμαρτεῖ·
πᾶσα γὰρ αὐαλέη ῥινὸς περὶ σάρκα μυσαχθὴς
νειόθι πιτναμένη μυδόεν τεκμήρατο νύγμα,
σηπεδόσι φλιδόωσα· τὰ δ' ἄλγεα φῶτα δαμάζει
μυρία πυρπολέοντα· θοῶς δ' ἐπὶ γυῖα χέονται
πρηδόνες, ἄλλοθεν ἄλλαι ἐπημοιβοὶ κλονέουσαι.
Ὃς δ' ἤτοι τὸ πρὶν μὲν ἐπὶ βροχθώδεϊ λίμνῃ
ἄσπειστον βατράχοισι φέρει κότον· ἀλλ' ὅταν ὕδωρ
σείριος αζήνῃσι, τρύγη δ' ἐνὶ πυθμένι λίμνης,
καὶ τόθ' ὅγ' ἐν χέρσῳ τελέθει ψαφαρός τε καὶ ἄχρους,
θάλπων ἠελίῳ βλοσυρὸν δέμας· ἐν δὲ κελεύθοις
γλώσσῃ ποιφύγδην νέμεται διψήρεας ὄγμους.
Τὸν δὲ μέτ' ἀμφίσβαιναν ὀλίζονα καὶ μινύθουσαν
δήεις ἀμφικάρηνον, ἀεὶ γλήναισιν ἀμυδρήν·
ἀμβλὺ γὰρ ἀμφοτέρωθεν ἐπιπρονένευκε γένειον
νόσφιν ἀπ' ἀλλήλων· χροιὴ γε μὲν ἠΰτε γαίης,
ῥωγαλέον φορέουσα περιστιγὲς αἰόλον ἔρφος.
Τὴν μὲν, ὅθ' ἁδρύνηται, ὀροιτύποι, οἷα βατῆρα
κόψαντες ῥάδικα πολυστεφέος κοτίνοιο,
δέρματος ἐσκύλευσαν, ὅτε πρώτιστα πέφανται,
πρόσθε βοῆς κόκκυγος ἐαρτέρου· ἡ δ' ὀνίνησι

ῥινῷ δυσπαθέοντας, ὅτ' ἐν παλάμῃσιν ἀεργοὶ
μάλκαι ἐπιπροθέωσιν ὑπὸ κρυμοῖο δαμέντων,
ἠδ' ὁπόταν νεύρων ξανάᾳ κεχαλασμένα δεσμά.
Δήεις καὶ σκυτάλην ἐναλίγκιον ἀμφισβαίνῃ
εἶδος, ἀτὰρ πάχετός γε καὶ οὐτιδανὴν ἐπὶ σειρὴν
πάσσον· ἐπεὶ σκυτάλης μὲν ὅσον σμινύοιο τέτυκται
στειλειῆς πάχετος, τῆς δ' ἕλμινθος πέλει ὄγκος,
ἠὲ καὶ ἔντερα γῆς οἷα τρέφει ὄμβριμος αἶα.
Οὐ γὰρ, ὅταν χαράδρεια λίπῃ καὶ ῥωγάδα πέτρην
ἦρος ἀεξομένου, ὁπόθ' ἑρπετὰ γαῖα φαείνει,
ἀκρέμονος μαράθοιο χυτὸν περιβόσκεται ἔρνος,
εὖτ' ἂν ὑπ' ἠελίοιο περὶ φλόον ἄψεα βάλλῃ,
ἀλλ' ἥγ' ἀρπέζαις τε καὶ ἐν νεμέεσσι πεσοῦσα
φωλείει βαθύϋπνος, ἀπ' εἰκαίης δὲ βοτεῖται
γαίης, οὐδ' ἀπὸ δίψος ἀλέξεται ἱεμένη περ.
Τέκμαιρου δ' ὀλίγον μὲν ἀτὰρ προφερέστατον ἄλλων
ἑρπηστῶν βασιλῆα· τὸ μὲν δέμας ὀξυκάρηνος,
ξανθὸς, ἐπὶ τρία δῶρα φέρων μῆκός τε καὶ ἰθύν.
Οὐκ ἄρα δὴ κείνου σπειραχθέα κνώδαλα γαίης
ἰϋγὴν μίμνουσιν, ὅτ' ἐς νομὸν ἠὲ καὶ ὕλην,
ἠὲ καὶ ἀρδηθμοῖο, μεσημβρινὸν ἀΐξαντος,
μείρονται· φύξῃ δὲ παλιντροπέες φορέονται.
Τύμματι δ' ἐπρήσθη φωτὸς δέμας· αἱ δ' ἀπὸ γυίων
σάρκες ἀποῤῥείουσι πελιδναί τε ζοφεραί τε·
οὐδέ τις οὐδ' οἰωνὸς ὑπὲρ νέκυν ἴχνια τείνας,
αἰγυπιοὶ, γῦπές τε, κόραξ τ' ὀμβρήρεα κρώζων,
οὐδὲ μὲν ὅσσα τε φῦλ' ὀνομάζεται οὔρεσι θηρῶν,
δαίνυνται· τοῖόν περ ἀΰτμένα δεινὸν ἐφείῃ.
Εἰ δ' ὀλοὴ βούβρωστις ἀΐδρείῃφι πελάσσοι,
αὐτοῦ οἱ θάνατός τε καὶ ὠκέα μοῖρα τέτυκται.

Κῆρα δέ τοι δρυΐναο πιφαύσκεο, τόν τε χέλυδρον
ἐξέτεροι καλέουσιν· ὁ δ' ἐν δρυσὶν οἰκία τεύξας
ἢ ὅγε που φηγοῖσιν, ὀρεσκεύει περὶ βήσσας.
Ὕδρον μιν καλέουσι, μετεξέτεροι δὲ χέλυδρον·
ὅστε, βρύα προλιπὼν καὶ ἕλος καὶ ὁμήθεα λίμνην,
ἀγρώσσων λειμῶσι μολουρίδας ἢ βατραχῖδας,
σπέρχεται ἐκ μύωπος ἀήθεα δέγμενος ὁρμήν.
Ἔνθα κατὰ πρέμνον κοίλης ὑπεδύσατο φηγοῦ
ὀξὺς ἀλεὶς, κοῖτον δὲ βαθεῖ ἐνεδείματο θάμνῳ·
αἰθαλόεις μὲν νῶτα, κάρη γε μὲν ἀρπεδὲς αὔτως
ὕδρῳ εἰσκόμενον· τὸ δ' ἀπὸ χροὸς ἐχθρὸν ἄηται,
οἷον ὅτε πλαδόωντα περὶ σκύλα καὶ δέρη ἵππων
γναπτόμενοι μυδόωσιν ὑπ' ἀρβήλοισι λάθαργοι.
Ἤτοι ὅτ' ἐν κώληπος ἢ ἐν ποδὸς ἴχνεϊ τύψῃ,
χρωτὸς ἀπὸ πνιγόεσσα κεδαιομένη φέρετ' ὀδμή·
τοῦ δ' ἤτοι περὶ τύμμα μέλαν κορθύεται οἶδος·
ἐν δὲ νόον πεδόωσιν ἀλυσθαίνοντος ἀνίαι
ἐχθόμεναι· χροιὴ δὲ μόγῳ αὐαίνεται ἀνδρός·
ῥινοὶ δὲ πλαδόωσιν ἐπὶ χροΐ· τοῖά μιν ἰὸς
ὀξὺς ἀεὶ νεμέθων ἐπιβόσκεται· ἀμφὶ καὶ ἀχλὺς
ὄσσε κατακρύπτουσα κακοσταθέοντα δαμάζει·
οἱ δέ τε μηκάζουσι, περιπνιγέες τε πέλονται·
οὖρα δ' ἀπέστυπται· τοτὲ δ' ἔμπαλιν ὑπνώοντες
ῥέγκουσιν, λυγμοῖσι βαρυνόμενοι θαμέεσσιν,
ἢ ἀπερευγόμενοι ἔμετον χολοειδέα δειρῆς,
ἄλλοτε δ' αἱματόεντα· κακὴ δ' ἐπιδίψιος ἄτη
ἐσχατιῇ μογέουσι τρόμον κατεχεύατο γυίοις.

Φράζεο δὲ χλοάοντα δαεὶς κυάνόν τε δράκοντα,
ὅν ποτε Παιήων λασίῃ ἐνεθρέψατο φηγῷ
Πηλίῳ ἐν νιφόεντι Πελεθρόνιον κατὰ βῆσσαν.

Ἤτοι ὅγ᾽ ἄγλαυρος μὲν ἐείδεται, ἐν δὲ γενείῳ
τρίστοιχοι ἑκάτερθε περιστιχόωσιν ὀδόντες·
πιόνα δ᾽ ἐν σκυνίοισιν ὑπ᾽ ὄθματα· νέρθε δὲ πώγων
αἰὲν ὑπ᾽ ἀνθερεῶνι χολοίβαφος· οὐ μὲν ὅγ᾽ αὔτως
ἐγχρίμψας ἤλγυνε, καὶ ἢν ἔκπαγλα χαλεφθῇ·
βληχρὸν γὰρ μυὸς οἷα μυχηβόρου ἐν χροῒ νύγμα
εἴδεται αἱμαχθέντος ὑπὸ κραντῆρος ἀραιοῦ.
Τῷ μέν τ᾽ ἔκπαγλον κοτέων βασιλήϊος ὄρνις
αἰετὸς ἐκ παλαχῆς ἐπαέξεται, ἀντία δ᾽ ἐχθρὴν
δῆριν ἄγει γενύεσσιν, ὅταν βλώσκοντα καθ᾽ ὕλην
δέρκηται· πάσας γὰρ ὅγ᾽ ἠρήμωσε καλιὰς,
αὔτως ὀρνίθων τε τόκον κτίλα τ᾽ ὠεὰ βρύκων.
Αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωὸν
ῥεῖα δράκων ἤμερσε νέον μάρψαντος ὄνυξι,
θάμνου ὑπαΐξας· ὁ δ᾽ ἀλεύεται· ἀμφὶ δὲ δαιτὸς
μάρνανθ᾽· ἱπτάμενον δὲ πέριξ ἀτέλεστα διώκει
σπειρηθεὶς καὶ λοξὸν ὑποδρὰξ ὄμμασι λεύσσων.
Εἴ γε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου
βήσεαι ἠὲ Σάμον δυσχείμερον, αἵ τ᾽ ἐνὶ κόλπῳ
Θρηϊκίῳ βέβληται, ἑκὰς Ῥησκυνθίδος Ἥρης,
Ἕβρος ἵνα Ζωναῖά τ᾽ ὄρη χιόνεσσι φάληρα,
καὶ δρύες Οἰαγρίδαο, τόθι Ζηρύνθιον ἄντρον,
δήεις κεγκρίνεω δολιχὸν τέρας, ὅν τε λέοντα
αἰόλον αὐδάξαντο, περίστικτον φολίδεσσι·
τοῦ πάχετος μῆκός τε πολύτροπον· αἶψα δὲ σαρκὶ
πυθεδόνας κατέχευε δυσαλθέας· αἱ δ᾽ ἐπὶ γυίοις
ἰοβόροι βόσκονται· ἀεὶ δ᾽ ὑπὸ νηδύσιν ὕδρωψ
ἄλγεσιν ἐμβαρύθουσα μέσον κατὰ ὀμφαλὸν ἵζει.
Ἤτοι ὅτ᾽ ἠελίοιο θερειτάτη ἵσταται ἀκτὶς,
οὔρεα μαιμώσσων ἐπινίσσεται ὀκριόεντα,

αἵματος ἰσχανόων, καὶ ἐπὶ κτίλα μῆλα δοκεύων,
ἢ Σάου ἠὲ Μοσύχλου ὅτ' ἀμφ' ἐλάτῃσι μακεδναῖς
ἄγραυλοι ψύχωσι, λελοιπότες ἔργα νομάων,
μή σύ γε θαρσαλέος περ ἐὼν θέλε βήμεναι ἄντην
μαινομένου· μὴ δή σε καταπλέξῃ καὶ ἀνάγχῃ
πάντοθε μαστίζων οὐρῇ δέμας, ἐν δὲ καὶ αἷμα
λαιφάξῃ, κληῗδας ἀναῤῥήξας ἑκάτερθεν.
Φεῦγε δ' ἀεὶ σκολιήν τε καὶ οὐ μίαν ἀτραπὸν ἴλλων,
δοχμὸς ἀνακρούων θηρὸς πάτον· ἦ γὰρ ὅ δεσμοῖς
βλάπτεται ἐν καμπῇσι πολυστρέπτοισιν ἀκάνθης,
ἰθεῖαν δ' ὤκιστος ἐπιδρομάδην στίβον ἕρπει.
Τοῖος Θρηϊκίῃσιν ὄφις νήσοισι πελάζει.
Ἔνθα καὶ οὐτιδανοῦ περ ἀπεχθέα βρύγματ' ἔασιν
ἀσκαλάβου· τὸν μέν τ' ἐρέει φάτις οὕνεκ' Ἀχαιὴ
Δημήτηρ ἔβλαψεν, ὅθ' ἄψεα σίνατο παιδὸς
Καλλίχορον περὶ φρεῖαρ, ὅτ' ἐν Κελεοῖο θεράπναις
ἀρχαίη Μετάνειρα θεὴν δείδεκτο περίφρων.
Ἄλλά γε μὴν ἄβλαπτα κινώπετα βόσκεται ὕλην,
δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας,
οὓς ἔλοπας λίβυάς τε πολυστεφέας τε μυαγροὺς
φράζονται, σύν τ' ὅσσοι ἀκοντίαι ἠδὲ μόλουροι,
ἠδ' ἔτι που τυφλῶπες ἀπήμαντοι φορέονται.
Τῶν μὲν ἐγὼ θρόνα πάντα καὶ ἀλθεστήρια νούσων,
φύλλα τε ῥιζοτόμον τε διείσομαι ἀνδράσιν ὥρην,
πάντα διαμπερέως καὶ ἀπηλεγὲς, οἷσιν ἀρήγων
ἀλθήσῃ νούσοιο κατασπέρχουσαν ἀνίην.
Τὰς μὲν ἔτι βλύζοντι φόνῳ περιαλγέϊ ποίας
δρέψασθαι νεόκμητα, (τὸ γὰρ προφερέστατον ἄλλων,)
χώρῳ ἵνα κνῶπες θαλερὴν βόσκονται ἀν' ὕλην.
Πρώτην μὲν Χείρωνος ἐπαλθέα ῥίζαν ἑλέσθαι,

Κενταύρου Κρονίδαο φερώνυμον, ἥν ποτε Χείρων
Πηλίου ἐν νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ·
τῆς μὲν ἀμαρακόεσσα χυτὴ περιδέδρομε χαίτη,
ἄνθεα δὲ χρύσεια φαείνεται· ἡ δ᾽ ὑπὲρ αἴης
ῥίζα καὶ οὐ βυθόωσα Πελεθρόνιον νάπος ἴσχει.
Ἣν σὺ καὶ αὐαλέην, ὁτὲ δ᾽ ἔγχλοον ὅλμῳ ἀράξας,
φυρσάμενος κοτύλην πιέειν μενοεικέος οἴνης·
παντὶ γὰρ ἄρκιός ἐστι· τὸ μὶν πανάκειον ἔπουσιν.
Ἤτοι ἀριστολόχεια παλίσκιος ἐνδατέοιτο,
φύλλα τε κισσήεντα περικλυμένοιο φέρουσα·
ἄνθεα δ᾽ ὑσγίνῳ ἐνερεύθεται· ἡ δέ οἱ ὀδμὴ
σκίδναται ἐμβαρύθουσα· μέσον δ᾽ ὡς ἀχράδα καρπὸν
μυρτάδος ἐξ ὄχνης ἐπιόψεαι ἢ σύ γε βάκχης·
ῥίζα δὲ θηλυτέρης μὲν ἐπιστρογγύλλεται ὄγκῳ,
ἄρσενι δ᾽ αὖ δολιχή τε καὶ ἂμ πυγόνος βάθος ἴσχει,
πύξου δὲ χροιῇ προσαλίγκιος Ὠρικίοιο.
Τὴν ἤτοι ἔχιός τε καὶ αἰνοπλῆγος ἐχίδνης
ἀγρεύσεις ὄφελος περιώσιον· ἔνθεν ἀποῤῥὼξ
δραχμαίη μίσγοιτο ποτῷ ἐνὶ κιῤῥάδος οἴνης.
Ναὶ μὴν καὶ τρίσφυλλον ὀπάζεο κνωψὶν ἀρωγὴν,
ἠέ που ἐν τρήχοντι πάγῳ ἢ ἀποσφάγι βήσσῃ,
τὴν ἤτοι μινυανθὲς, ὁ δὲ τριπέτηλον ἐνίσπει,
χαίτην μὲν λωτῷ, ῥυτῇ γε μὲν εἴκελον ὀδμήν.
Ἤτοι ὅτ᾽ ἄνθεα πάντα καὶ ἐκ πτίλα ποικίλα χεύῃ,
οἷόν τ᾽ ἀσφάλτου ἀπερεύγεται· ἔνθα κολούσας
σπέρμαθ᾽ ὅσον κύμβοιο τραπεζήεντος ἑλέσθαι
καρδόπῳ ἐντρίψας πιέειν ὀφίεσσιν ἀρωγήν.
Νῦν δ᾽ ἄγε τοι ἐπίμικτα νόσων ἀλκτήρια λέξω.
Θρινακίην μὲν ῥίζαν ἕλευ γυιαλθέα θάψου
σμώξας, ἐν δὲ σπέρμα χυτὸν λευκανθέος ἄγνου,

νῆριν, πηγάνιόν τε περίβρυες, ἐν δέ τε θύμβρης
δρεψάμενος βλαστὸν χαμαιευνάδος, ἥτε καθ' ὕλην
οἴας θ' ἑρπύλλοιο περὶ ῥαδῖκας ἀέξει.
Ἄγρει δ' ἀσφοδέλοιο διανθέος ἄλλοτε ῥίζαν,
ἄλλοτε καὶ καυλεῖον ὑπέρτερον ἀνθερίκοιο.
πολλάκι δ' ἐν καὶ σπέρμα, τό τε λοβὸς ἀμφὶς ἀέξει·
ἠὲ καὶ ἑλξίνην, τήν τε κλύβατιν καλέουσιν,
ὕδασι τερπομένην καὶ ἀεὶ θάλλουσαν ἰάμνοις·
πῖνε δ' ἐνιτρίψας κοτυλήρυτον ὄξος ἀφύσσων
ἢ οἴνης· ῥέα δ' αὖτε καὶ ὕδατι κῆρας ἀλύξαις.
Ἐσθλὴν δ' Ἀλκιβίου ἔχιος περιφράζεο ῥίζαν,
τῆς καὶ ἀκανθοβόλος μὲν ἀεὶ περιτέτροφε χαίτη,
λείρια δ' ὡς ἴα τοῖα περιστρέφει· ἡ δὲ βαθεῖα
καὶ ῥαδινὴ ὑπένερθεν ἀέξεται οὔδεϊ ῥίζα.
Τὸν μὲν ἔχις βουβῶνος ὑπὲρ νεάτοιο χαράξας
ἄντλῳ ἐνυπνώοντα χυτῆς παρὰ τέλσον ἀλωῆς
εἶθαρ ἀπέπνευσεν καμάτου βίῃ· αὐτὰρ ὁ γαίης
ῥίζαν ἐρυσσάμενος τὸ μὲν ἕρκεϊ θρύψεν ὀδόντων
θηλάζων, τὸ δὲ πέσκος ἑῷ ἐνὶ κάββαλεν ἕλκει.
Ἦ μὴν καὶ πρασίοιο χλοανθέος ἔρνος ὀλόψας
χραισμήσαις ὀφίεσσι, πιὼν ἀργῆτι σὺν οἴνῳ·
ἥ τε καὶ ἀστόργοιο κατείρυσεν οὔθατα μόσχου
πρωτογόνου, στέργει δὲ περισφαραγεῦσα γάλακτι·
τὴν ἤτοι μελίφυλλον ἐπικλείουσι βοτῆρες,
οἱ δὲ μελίκταιναν· τῆς γάρ περὶ φύλλα μέλισσαι
ὀδμῇ θελγόμεναι μέλιτος ῥοιζηδὸν ἵενται.
Ἠὲ σύ γ' ἐγκεφάλοιο πέριξ μήνιγγας ἀραιὰς
ὄρνιθος λάζοιο κατοικίδος· ἄλλοτ' ὀμόρξεις
ψῆγμα πολυκνήμου, καὶ ὀρείγανον, ἢ ἀπὸ κάπρου
ἥπατος ἀκρότατον κέρσας λοβὸν, ὅς τε τραπέζης

ἐκφύεται, νεύει δὲ χολῆς σχεδὸν ἠδὲ πυλάων·
καὶ τὰ μὲν ἂρ σύμμικτα πιεῖν ἢ ἄνδιχα κόψας
ὄξεος ἢ οἴνης· πλεῖον δ' ἄκος ἕψεται οἴνης.
Ἐν δὲ φόβην ἐρύσασθαι ἀειθαλέος κυπαρίσσου
ἐς ποτὸν, ἢ πάνακες, ἢ κάστορος οὐλοὸν ὄρχιν
ἢ ἵππου, τὸν Νεῖλος ὑπὲρ Σάϊν αἰθαλόεσσαν
βόσκει, ἀρούρῃσιν δὲ κακὴν ἐπιβάλλεται ἅρπην·
ὅς τε καὶ ἐκ ποταμοῖο λιπὼν ζάλον ἰλυόεντα,
χιλοὶ ὅτε χλοάουσι, νέον δ' ἀπεχεύατο ποίην,
τόσσον ἐπιστείβων λείπει βάθος, ὁσσάτιόν περ
ἐκνέμεται γενύεσσι παλίσσυτον ὄγμον ἐλαύνων.
Τοῦ μὲν ἀποπροταμὼν δραχμῆς βάρος ἰσοφαρίζειν,
ὕδατι δ' ἐμπίσαιο, κύτει ἐν ἀολλέα κόψας.
Μηδὲ σύ γ' ἀβροτάνου ἐπιλήθεο, μηδέ τι δάφνης
καρπὸν ἀραιοτέρης· μάλα δ' ἂν καὶ ἀμάρακος εἴη
χραισμήεις πρασιῆς τε καὶ ἀνδήροισι χλοάζων·
ἐν δὲ τίθει τάμισον σκίνακος νεαροῖο λαγωοῦ,
ἢ προκὸς ἢ νεβροῖο, πάροιθ' ἀπὸ λύματα κόψας,
ἢ ἐλάφου νηδὺν, τὴν δὴ καλέουσιν ἐχῖνον,
ἄλλοι δ' ἐγκατόεντα κεκρύφαλον· ὧν ἀπερύσσας
δραχμάων ὅσσον τε δύω καταβάλλεο μοίρας
τέτρασιν ἐν κυάθοις μέθυος πολιοῦ ἐπιμίξας,
ἠὲ καὶ ἐξ ἐλάφοιο ταμὼν πηρῖνα θοραίην.
Μηδέ σέ γε χραίσμη πολίου λάθοι ἠὲ κέδροιο
ἀρκευθὶς, σφαίρη τε θερειλεχέος πλατάνοιο,
σπέρματα βουπλεύρου τε καὶ Ἰδαίης κυπαρίσσου·
πάντα γὰρ ἀλθήσει καὶ ἀθέσφατον ἐκ μόγον ὤσει.
Τὴν δὲ μετεξετέρην θανάτου φύξιν τε καὶ ἀλκὴν
φράζεο, κολλυβάτειαν ἑλὼν τροχαλῷ δ' ἐνὶ λίγδῳ
σώχειν, ἐν δέ τέ οἱ κοτύλην πτισάνοιο χέασθαι,

ἐν δὲ δύω κυάθεια παλαισταγέος οἴνοιο,
ἐν δὲ καὶ ἀργέσταο λίπευς ἰσόμοιρον ἐλαίου,
φύρσας δὲ πληγῇσι χολοιβόρον ἰὸν ἐρύξεις.
Ἄγρει δ' ἐξάμορον κοτύλης εὐώδεα πίσσαν,
καὶ χλοεροῦ νάρθηκος ἀπὸ μέσον ἦτρον ὀλόψας,
ἠὲ καὶ ἱππείου μαράθου πολυαυξέα ῥίζαν,
κεδρίσιν ἐντρίψας ἐλεοθρέπτου τε σελίνου
σπέρματα, μεστωθὲν δὲ χάδοι βάθος ὀξυβάφοιο.
Ἔνθα καὶ ἱππείου προταμὼν σπερμεῖα σελίνου,
δραχμάων δὲ δύω σμύρνης ἐχεπευκέος ἄχθη,
ἐν δὲ θερειγενέος καρπὸν κεράσαιο κυμίνου
στήσας ἠὲ χύδην τε καὶ ἄστατον ἀμφικυκήσας·
πῖνε δὲ μιξάμενος κυάθῳ τρὶς ἀφύξιμον οἴνην.
Νάρδου τ' εὐστάχυος δραχμήϊον ἄχθος ἑλέσθαι
σὺν δὲ καὶ ὀκταπόδην ποταμοῦ ἀποσυληθέντα
καρκίνον ἐνθρύψαιο νεοβδάλτοιο γάλακτος,
ἶρίν θ', ἣν ἔθρεψε Δρίλων καὶ Νάρονος ὄχθη,
Σιδονίου Κάδμοιο θεμείλιον Ἁρμονίης τε·
ἔνθα δύω δασπλῆτε νομὸν στείβουσι δράκοντε.
Λάζεο δ' ἀνθεμόεσσαν ἄφαρ τανύφυλλον ἐρείκην,
ἥν τε μελισσαῖος περιβόσκεται οὐλαμὸς ἕρπων·
καὶ μυρίκης λάζοιο νέον πανακαρπέα θάμνον,
μάντιν ἐνὶ ζωοῖσι γεράσμιον· ᾗ ἐν Ἀπόλλων
μαντοσύνας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν·
μὶξ δὲ κονυζῆεν φυτὸν ἔγχλοον, ἠδὲ καὶ ἀκτῆς
καυλοὺς ἠνεμόεντας, ἰδὲ πτίλα πολλὰ καὶ ἄνθη
σαμψούχου κύτισόν τε καὶ εὐγλαγέας τιθυμάλλους·
πάντα δὲ λίγδῳ θρύπτε, καὶ ἐν σκαφίδεσσι δοχαίαις
φαρμάσσων μέθυ κεῖνο χοὸς δεκάτῃ ἐνὶ μοίρῃ.
Ἀλλ' ἤτοι γερύνων καναχοὶ περίαλλα τοκῆες

βάτραχοι ἐν χύτρῃσι καθεψηθέντες ἄριστοι
βάμματι· πολλάκι δ' ἧπαρ ἐνὶ σχεδίῃ ποθὲν οἴνῃ,
ἢ αὐτοῦ σίνταο κάρη κακὸν ἄλλοτε νύμφαις
ἐμπισθὲν, τοτὲ δ' οἴνου ἐνὶ σταγόνεσσιν ἀρήξει.
Μὴ σύ γ' ἑλιχρύσοιο λιπεῖν πολυδεύκεος ἄνθην,
κόρκορον ἢ μύοντα, πανάκτειόν τε κονίλην,
ἥν τε καὶ Ἡράκλειον καὶ ὀρείγανον ἀμφενέπουσι·
σὺν καὶ ὄνου πετάλειον ὀρείγανον, αὖά τε θύμβρης
στρομβεῖα ψώχοιο, κακῆς ἐμφόρβια νούσου.
Ἄγρει μὰν ὀλίγαις μηκωνίσι ῥάμνον ἐΐσην
ἑρσομένην, ἀργῆτι δ' ἀεὶ περιτέτροφεν ἄνθει·
τὴν ἤτοι φιλέταιρον ἐπίκλησιν καλέουσιν
ἀνέρες, οἳ Τμώλοιο παραὶ Γύγαό τε σῆμα
Παρθένιον ναίουσι λέπας, τόθι Κίλβιν ἀεργοὶ
ἵπποι χιλεύουσι, καὶ ἀντολαί εἰσι Καΰστρου.
Νῦν δ' ἄγε τοι ῥίζας ἐρέω ὀφίεσσιν ἀρωγούς.
Ἔνθα δύω ἐχίεια πιφαύσκεο· τῆς δὲ τὸ μέν που
ἀγχούσῃ προσέοικεν ἀκανθῆεν πεταλεῖον·
παῦρον ἐπεὶ τυτθόν τε καὶ ἐν χθονὶ πυθμένα τείνει.
Ἡ δ' ἑτέρη πετάλοισι καὶ ἐν καλύκεσσι θάλεια,
ὑψηλή· ὀλίγῳ δὲ πέριξ καλχαίνεται ἄνθει·
βλάστη δ' ὡς ἔχιος, σφεδανὸν δ' ἐφύπερθε κάρηνον.
Τῶν μὲν ἀπ' ἀνδρακάδα προταμὼν ἰσήρεα, χραισμεῖ,
ἢ σφέλᾳ ἢ ὄλμῳ κεάσας ἢ ῥωγάδι πέτρῃ.
Ἠὲ σύ γ' ἠρύγγοιο καὶ ἀλθήεντος ἀκάνθου
ῥίζαν λειήναιο, φέροις δ' ἰσοῤῥεπὲς ἄχθος
ἀμφοῖν, καὶ κλώθοντος ἐν ἀρπέζαισιν ἐρίνου.
Λάζεο δ' εὐκνήμοιο κόμην βρίθουσαν ὀρείης,
καὶ σπέραδος Νεμεαῖον ἀειφύλλοιο σελίνου,
σὺν δὲ καὶ ἀννήσοιο τὸ διπλόον ἄχθος, ἀείρας

ῥίζαις ὁλκήεσσαν ὑπὸ πλάστιγγα πεσοῦσαν·
καὶ τὰ μὲν ὀργάζοιο, καὶ εἶν ἐνὶ τεύχεϊ μίξας,
ἄλλοτε μέν τ' ἐχίων ὀλοὸν σίνος, ἄλλοτε τύμμα
σκορπιόεν, τά τε δάγματ' ἐπαλθήσαιο φάλαγγος,
τριπλόον ἐνθρύπτων ὀδελοῦ βάρος ἔνδοθεν οἴνης.
Φράζεο δ' αἰγλήεντα χαμαιλέον ἠδὲ καὶ ὀρφνόν·
δοιοὶ δ' ἀμφὶς ἔασιν· ὁ μὲν ζοφοειδέλος ὠπὴν
ἤϊκται σκολύμῳ, τροχεὴν δ' ἀπεχεύατο χαίτην·
ῥίζα δέ οἱ βριαρή τε καὶ αἴθαλος· ἡ δ' ὑπὸ κνημοῖς
σκαιοῖς ἐντελέθει φυξήλιος ἐν νεμέεσσι.
Τὸν δ' ἕτερον δήεις αἰεὶ πετάλοισιν ἀγαυρόν·
μέσσῃ δ' ἐν κεφαλῇ φύεται πεδόεσσα μολοβρή·
ῥίζα δ' ὑπαργήεσσα, μελίζωρος δὲ πάσασθαι.
Τῶν δὴ κυάνεον μὲν ἀναίνεο· τῆς δ' ἀπὸ φάρσος
δραχμαῖον ποταμοῖο πιεῖν ὑδάτεσσι ταράξας.
Ἄλλην δ' Ἀλκιβίοιο φερώνυμον αἴρεο ποίην,
δράγμα χερὸς πλήσας, παύρῳ δ' ἐνὶ νέκταρι πίνοις.
Τὴν μὲν ἐπὶ σκοπέλοισι Φαλακραίοισιν ἐπακτὴρ
Κρύμνης ἂμ πεδίον καὶ ἀνὰ Γράσον, ἠδ' ἵνα θ' ἵππου
λειμῶνες, σκυλάκεσσιν Ἀμυκλαίοισι κελεύων.
κνυζηθμὸν κυνὸς οὖλον ἐπήϊσε θυμολέοντος,
ὅς τε μεταλλεύων αἰγὸς ῥόθον ἐν στίβῳ ὕλης
κανθῷ ἐνὶ ῥαντῆρι τυπὴν ἀνεδέξατ' ἐχίδνης·
καὶ τὴν μὲν κλάγξας ἀφεκὰς βάλε, ῥεῖα δὲ ποίης
φύλλα κατέβρυξεν, καὶ ἀλεύατο φοινὸν ὄλεθρον.
Λάζεο δ' ἔγχλοα φλοιὸν ἐλαιήεντα κρότωνος
συμμίγδην πετάλοισι μελισσοβότοιο δασείης,
ἠὲ καὶ ἠελίοιο τροπαῖς ἰσώνυμον ἔρνος,
ἥ θ' Ὑπεριονίδαο παλιστρέπτοιο κελεύθους
τεκμαίρει γλαυκοῖσιν ἴσον πετάλοισιν ἐλαίης.

Αὔτως δὲ ῥίζαν κοτυληδόνος, ἥ τ' ἀνὰ κρυμὸν
ῥηγνυμένων ὀλοφυδνὰ διήφυσε ποσσὶ χίμετλα.
Δή ποτε δ' ἢ βλωθροῖο πυρίτιδος ἔγχλοα φύλλα,
ἢ σκολοπενδρείοιο φέρειν ἀπὸ καυλὸν ἀμήσας.
Ἄγρει καὶ πάνακες Φλεγυήϊον, ὅῤῥα τε πρῶτος
Παιήων Μέλανος ποταμοῦ παρὰ χεῖλος ἄμερσεν,
Ἀμφιτρυωνιάδαο θέρων Ἰφικλέος ἕλκος,
εὖτε σὺν Ἡρακλῆϊ κακὴν ἐπυράκτεεν ὕδρην.
Εἰ δὲ σύ γε σκύλακας γαλέης ἢ μητέρα λαιδρὴν
ἀγρεύσαις πρόσπταιον, ἀποσκύλαιο δὲ λάχνην
καρφαλέου καθύπερθε πυρὸς σελάοντος ἀϋτμῆς,
τῆς δ' ἐξ ἔγκατα πάντα βαλὼν καὶ ἀφόρδια γαστρὸς
φύρσον ἁλὸς θείοιο, καὶ ἠελίου δίχα τέρσον,
μή τοι ἐνισκήλῃ νεαρὸν σκίναρ ὠκὺς ἀΐξας.
Ἀλλ' ὁπόταν χρειώ σε κατεμπάζῃ μογέοντα,
σῶχε δία κνήστι σκελετὸν δάκος, οἷά τ' ἀφαυρὸν
σίλφιον ἢ στροφάλιγγα περιξήροιο γάλακτος,
οἴνῳ ἐπικνήθων· τὸ δέ τοι προφερέστατον ἄλκαρ
ἐσσεῖται· πάσας γὰρ ὁμῶς ἀπὸ κῆρας ἀλύξεις.
Πεύθεο δ' εἰναλίης χέλυος κρατέουσαν ἀρωγὴν
δάγματος εἶαρ ἔμεν δολιχῶν ὅσα φῶτας ἀνιγροὺς
ἑρπετὰ σίνονται· τὸ δέ τοι μέγ' ἀλέξιμον εἴη.
Ἤτοι ὅταν βροτολοιγὸν ὑπὲρ πόντοιο χελώνην
αἰγιαλῶν ἐρύσωσιν ἐπὶ ξερὸν ἀσπαλιῆες,
τήνδ' ἀνακυπώσας, κεφαλῆς ἀπὸ θυμὸν ἀράξαι
μαυλίδι χαλκείῃ, βλοσυρὸν δ' ἐξ αἷμα χέασθαι
ἐν κεράμῳ νεοκμῆτι καμινόθεν· ἐκ δὲ πελιδνὸν
οὖρον ἀπηθῆσαι πλαδόων λαεργέϊ μάκτρῃ·
ἧς ἔπι δὴ τέρσαιο διατρυφὲς αἷμα κεάσσας
δραχμάων πισύρων μίσγων βάρος· ἐν δὲ κυμίνου

δοιὰς ἀγροτέρου, καὶ ἐκ ταμίσοιο λαγωοῦ
τετράμορον δραχμῇσι δύω καταβάλλεο βρῖθος.
Ἔνθεν ἀποτμήγων πιέειν δραχμαῖον ἐν οἴνῃ.
Καὶ τάδε μέν τ' ὀφίεσσιν ἀλεξητήρια δήεις.
Ἔργα δέ τοι σίνταο περιφράζοιο φάλαγγος
σήματά τ' ἐν βρυγμοῖσιν· ἐπεί ῥ' ὁ μὲν αἰθαλόεις ῥὼξ
κέκληται, πισσῆεν, ἐπασσυτέροις ποσὶν ἕρπων·
γαστέρι δ' ἐν μεσάτῃ ὀλοοῖς ἔσκληκεν ὀδοῦσι.
Τοῦ δὲ καὶ ἐγχρίμψαντος, ἀνουτήτῳ ἴκελος χρὼς
μίμνει ὅμως, τὰ δ' ἔνερθε φάη ὑποφοινίσσονται·
φρίκη δ' ἐν ῥέθεϊ σκηρίπτεται· αὐτίκα δὲ χρὼς
μέζεά τ' ἀνδρὸς ὕπερθε τιταίνεται· ἐν δέ τε καυλὸς
φύρματι μυδαλέος προϊάπτεται· ἰσχία δ' αὔτως
μάλκη ἐνισκίμπτουσα κατήριπεν ἔχματα γούνων.
Ἀστέριον δέ φιν ἄλλο πιφαύσκεο· τεῦ δ' ἐπὶ νώτῳ
λεγνωταὶ στίλβουσι διαυγέες ἐν χροῒ ῥάβδοι·
βρύξαντος δ' ἀΐδηλος ἐπέδραμεν ἀνέρι φρίκη·
ἐν δὲ κάρος κεφαλῇ· γούνων δέ θ' ὑπέκλασε δεσμά.
Κυάνεον δέ τοι ἄλλο πεδήορον ἀμφὶς ἀΐσσει
λαχνῆεν· δεινὸν δὲ φέρει καὶ ἐπὶ χροῒ νύγμα,
ὅντινα γυιώσῃ· κραδίη δέ οἱ ἐν βάρος ἴσχει·
νὺξ δὲ περὶ κροτάφοις· ἔμετον δ' ἐξήρυγε δειρῆς,
λοιγὸν ἀραχνήεντα· νέμει δέ οἱ ἐγγὺς ὄλεθρον
Ἀγρώστης γε μὲν ἄλλος, ὃ δὴ λύκου εἴσατο μορφῇ
μυιάων ὀλετῆρος· ὀπιπτεύει δὲ μελίσσας,
ψῆνας, μύωπάς τε καὶ ὅσσ' ἐπὶ δεσμὸν ἵκηται.
Ἄκμητον δ' ἐπὶ τύμμα φέρει μεταμώνιον ἀνδρί.
Ἄλλο γε μὴν δύσδηρι, τὸ δὲ σφήκειον ἔπουσι,
πυρσὸν ἅλις, σφηκὶ προςαλίγκιον ὠμοβορῆϊ,
ὃς δὴ θαρσαλέην γενεὴν ἐκμάσσεται ἵππου·

ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν
σκήνεσι πυθομένοισι λυκοσπάδες ἐξεγένοντο.
Τοῦ δὲ καὶ οὐτήσαντος ἐπὶ κρατερὸν θέει οἶδος,
νοῦσοί τ' ἐξέτεραι, μετὰ γούνασιν ἄλλοτε παλμὸς,
ἄλλοτε δ' ἀδρανίη· μινύθοντα δὲ τόνδε δαμάζει
ἐσχάτιον κακοεργὸν ἄγων παυστήριον ὕπνον.
Εἰ δ' ἄγε μυρμήκειον, ὃ δὴ μύρμηξιν ἔϊκται,
δειρῇ μὲν πυρόεν, ἄζῃ γε μὲν εἴσατο μορφὴν,
πάντοθεν ἀστερόεντι περιστιγὲς εὐρέϊ νώτῳ·
αἰθαλέη δ' ἐπὶ τυτθὸν ἀείρεται αὐχένα κόρσῃ·
ἄλγεα δὲ προτέροισιν ἴσα κνώπεσσι πελάζει.
Χειροδρόποι δ' ἵνα φῶτες ἄτερ δρεπάνοιο λέγονται
ὄσπρια χέδροπά τ' ἄλλα μεσοχλόου ἐντὸς ἀρούρης,
ἐνθάδ' ἐπασσύτερα φλογερῇ εἰλυμένα χροιῇ
εἴκελα κανθαρίδεσσι φαλάγγια τυτθὰ δίενται.
Τοῦ μὲν ὁμῶς ἔμμοχθον ἀεὶ περὶ δάγμα χέονται
φλύκταιναι· κραδίη δὲ παραπλάζουσα μέμηνε·
γλῶσσα δ' ἄτακτα λέληκε· παρέστραπται δὲ καὶ ὄσσε.
Φράζεο δ' Αἰγύπτοιο τά τε τρέφει οὐλοὸς αἶα
κνώδαλα, φαλαίνῃ ἐναλίγκια, τὴν περὶ λύχνους
ἀκρόνυχος δειπνητὸς ἐπήλασε παιφάσσουσαν·
στεγνὰ δέ οἱ πτερὰ πάντα καὶ ἔγχνοα, τοῖα κονίης
ἢ καὶ ἀπὸ σπληδοῖο φαείνεται, ὅστις ἐπαύρῃ.
τῇ ἴκελος Περσῆος ὑποτρέφεται πετάλοισι·
τοῦ καὶ σμερδαλέον νεύει κάρη αἰὲν ὑποδρὰξ
ἐσκληκὸς, νηδὺς δὲ βαρύνεται· αὐτὰρ ὃ κέντρον
αὐχένι τ' ἀκροτάτῳ κεφαλῇ τ' ἐνεμάξατο φωτός·
ῥεῖα δέ κεν θανάτοιο καὶ αὐτίκα μοῖραν ἐφείη.
Εἰ δ' ἄγε καὶ κέντρῳ κεκορυθμένον ἀλγινόεντι
σκορπίον αὐδήσω, καὶ ἀεικέα τοῖο γενέθλην.

Τῶν ἤτοι λευκὸς μὲν ἀκήριος οὐδ᾽ ἐπιλωβής·
Πυρσὸς δ᾽ ἐν γενύεσσι θοὸν προςεμάξατο καῦσον
ἀνδράσιν αἰθαλόεντα· περισπαίρουσι δὲ λώβῃ
οἷα πυρίβλητοι· κρατερὸν δ᾽ ἐπὶ δίψος ὄρωρεν.
Αὐτὰρ ὅ γε ζοφόεις ἄραδον κακὸν ὤπασε τύψας
ἀνδρί· παραπλῆγες δὲ καὶ ἄφραστοι γελόωσιν.
Ἄλλος δὲ χλοάων τε, καὶ ὁππότε γυῖον ἀράξῃ,
φρῖκος ἐπιπροΐησι· κακὴ δ᾽ ἐπὶ τοῖσι χάλαζα
εἴδεται ἐμπλάζουσα, καὶ εἰ μέγα σείριος ἄζει.
Τοίη οἱ κέντροιο κόπις, τοίῳ δ᾽ ἐπὶ κέντρῳ
σφόνδυλοι ἐννεάδεσμοι ὑπερτείνουσι κεραίης.
Ἄλλος δ᾽ ἐμπέλιος· φορέει δέ τε βοσκάδα νηδὺν
εὐρεῖαν· δὴ γάρ τε ποηφάγος, αἰὲν ἄητος,
γαιοφάγος, βουβῶσι τυπὴν ἀλίαστον ἰάπτει.
Τοίη οἱ βούβρωστις ἐνέσκληκεν γενύεσσι.
Τὸν δ᾽ ἕτερον δήεις ἐναλίγκιον αἰγιαλῆϊ
καρκίνῳ, ὃς μνία λευκὰ ῥόον τ᾽ ἐπιβόσκεται ἅλμης.
Ἄλλοι δ᾽ αὖ ῥαιβοῖσιν ἰσήρεες ἄντα παγούροις
γυῖα βαρύνονται· βαρέαι δ᾽ ἐσκλήκασι χηλαί,
οἷά τε πετραίοισιν ἐποκριόωσι παγούροις·
τῶν δὴ καὶ γενεὴν ἐξέμμορον, εὖτε λίπωσι
πέτρας καὶ βρύα λεπτὰ πολυῤῥοίζοιο θαλάσσης,
τοὺς ἁλὸς ἐξερύουσι δελαστρέες ἰχθυβολῆες·
αὐτίκα δ᾽ ἀγρευθέντες ἐνὶ γρώνῃσιν ἔδυσαν
μυοδόκοις, ἵνα τέκνα κακόφθορα τῶνδε θανόντων
σκορπίοι ἐξεγένοντο καθ᾽ ἕρκεα λωβητῆρες.
Τὸν δὲ μελίχλωρον· τοῦ γὰρ προμελαίνεται ἄκρη
σφόνδυλος· ἄσβεστον δὲ νέμει πολυκήριον ἄτην
ἀνδράσι, νηπιάχοις δὲ παρασχεδὸν ἤγαγεν αἶσαν.
Ἔχθιστος δ᾽ ὅγε ῥαιβὰ φέρει φλογὶ εἴκελα γυῖα·

οἷς δὴ καὶ νώτοισι περὶ πτερὰ πυκνὰ χέονται
μάστακι σιτοφάγῳ ἐναλίγκια, τοί θ' ὑπὲρ ἄκρων
ἱπτάμενοι ἀθέρων λεπυρὸν στάχυν ἐκβόσκονται,
Πήδασα καὶ Κισσοῖο κατὰ πτύχας ἐμβατέοντες.
Οἶδά γε μὴν φράσασθαι ἀλέξια τοῖσι βολάων,
οἷάπερ ἐκ βέμβικος ὀρεστέρου ἠὲ μελίσσης,
ᾗ τε καὶ ἐκ κέντρου θάνατος πέλει, εὖτε χαράξῃ
ἄνδρα πέριξ σίμβλοισι πονεύμενον ἠὲ καὶ ἀγροῖς·
κέντρον γὰρ πληγῇ περικάλλιπεν ἐμματέουσα·
κέντρον δὲ ζωήν τε φέρει θάνατόν τε μελίσσαις.
Οἶδά γε μὴν καὶ ἴουλος ἃ μήδεται ἠδ' ὀλοὸς σφήξ,
πεμφρηδών ὀλίγη τε, καὶ ἀμφικαρὴς σκολόπενδρα,
ἥ τε καὶ ἀμφοτέρωθεν ὀπάζεται ἀνδράσι κῆρα·
νήϊά θ' ὡς σπέρχονται ὑπὸ πτερὰ θηρὶ κιούσῃ.
Τυφλήν τε σμερδνήν τε βροτοῖς ἐπὶ λοιγὸν ἄγουσαν
μυγαλέην, τροχιῇσιν ἐνιθνήσκουσαν ἁμάξης.
Σῆπά γε μὴν πεδανοῖσι δομὴν σαύροισιν ἀλύξεις,
καὶ σαλαμάνδρειον δόλιον δάκος αἰὲν ἀπεχθὲς,
ἥ τε καὶ ἀσβέστοιο διὲκ πυρὸς οἶμον ἔχουσα
ἔσσυται ἄκμητος καὶ ἀνώδυνος· οὐδέ τί οἱ φλὸξ
σίνεται ἀσβέστη ῥαγόεν δέρος ἄκρα τε γυίων.
Ναὶ μὴν οἶδ' ὅσα πόντος ἁλὸς ῥοθίοισιν ἑλίσσει,
μυραίνης δ' ἔκπαγλον· ἐπεὶ μογεροὺς ἁλιῆας
πολλάκις ἐμβρύξασα κατεπρήνιξεν ἐπάκτρων,
εἰς ἅλα φυζηθέντας, ἐχετλίου ἐξαναδῦσα.
Εἰ δ' ἔτυμον, κείνην γε σὺν ἰοβόλοις ἐχίεσσι
θόρνυσθαι, προλιποῦσαν ἁλὸς νομὸν, ἠπείροισι.
Τρυγόνα μὴν ὀλοεργὸν, ἁλιῤῥαίστην τε δράκοντα
οἶδ' ἀπαλέξασθαι· φορέει γε μὲν ἄλγεα τρυγὼν,
ἦμος ἐν ὁλκαίοισι λίνοις μεμογηότα κέντρῳ

ἐργοπόνον τύψησιν, ἢ ἐν πρέμνοισι παγείη
δενδρείου, τό γε πολλὸν ἀγαυρότερον θαλέθῃσι·
τοῦ μὲν ὑπὸ πληγῇσιν ἅτ' ἠελίοιο δαμέντος
ῥίζαι, σὺν δέ τε φυλλὰς ἀποφθίνει· ἀνδρὶ δὲ σάρκες
πυθόμεναι μινύθουσι· λόγος γε μὲν, ὥς ποτ' Ὀδυσσεὺς
ἔφθιτο λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.
Οἷσιν ἐγὼ τὰ ἕκαστα διείσομαι ἄρκια νούσων.
Δὴ γὰρ ὅτ' ἀγχούσης θριδακήϊδα λάζεο χαίτην,
ἄλλοτε πενταπέτηλον, ὅτ' ἄνθεα φοινὰ βάτοιο,
ἄρκτιον, ὀξαλίδας τε, καὶ ὁρμενόεντα λύκαψον,
κίκαμά τ', ὄρδειλόν τε περιβρυὲς, ἐν δὲ χαμηλὴν
ῥεῖα πίτυν, φηγοῦ τε βαθὺν περὶ φλοιὸν ἀράξας,
σὺν δ' ἄρα καυκαλίδας τε, καὶ ἐκ σταφυλίνου ἀμήσας
σπέρματα, καὶ τρεμίθοιο νέον πολυειδέα καρπόν·
ἢ ἔτι καὶ φοινίσσον ἁλὸς καταβάλλεο φῦκος,
ἀγραίς τ' ἀδίαντον, ἵν' οὐκ ὄμβροιο ῥαγέντος
λεπταλέη πίπτουσα νοτὶς πετάλοισιν ἐφίζει.
Εἰ δ' ἄγε καὶ σμυρνεῖον ἀειβρυὲς ἢ σύ γε ποίης
λευκάδος ἠρύγγου τε τάμοις ἀθερήϊδα ῥίζαν,
ἄμμιγα καγχρυφόρῳ λιβανώτιδι· μηδ' ἀπαρίνη
μηδ' ἔτι κολλυβάτεια περιβρίθουσά τε μήκων
θυλακὶς ἢ ἐπιτηλὶς ἐπὶ χραίσμησιν ἀπείη.
Σὺν δὲ κράδης κυέουσαν ἀποτμήξαιο κορύνην,
ἢ αὐτοὺς κόκκυγας ἐρινάδος, οἵ τε πρὸ ἄλλης
γόγγυλοι ἐκφαίνουσιν ἀνοιδείοντες ὀπώρης.
Λάζεο καὶ πυράκανθαν, ἰδὲ φλόμου ἄῤῥενος ἄνθην,
ἄμμιγα δ' αἰγίλοπός τε χελιδονίου τε πέτηλα,
δαύκειον, ῥίζας τε βρυωνίδος, ἢ καὶ ἔφηλιν
θηλυτέρων, ἐχθρήν τε χροὸς ὠμόρξατο λεύκην.
Ἐν δὲ περιστερόεντα κατασμώξαιο πέτηλα,

ἢ καὶ ἀλεξιάρης πτόρθους ἀπαμέργεο ῥάμνου·
μούνη γὰρ νήστειρα βροτῶν ἀπὸ κῆρας ἐρύκει.
Ναὶ μὴν παρθενίοιο νεοδρέπτους ὀροδάμνους,
κόρκορον ἢ πεταλῖτιν, ἀμέργεο πολλάκι μίλτου
Λημνίδος, ἣ πάσῃσι πέλει θελκτήριον ἄτης.
Δήποτε καὶ σικύοιο τάμοις ἐχεπευκέα ῥίζαν
ἀγροτέρου· νηδὺν δὲ καὶ ἐμβαρύθουσαν ἀνίης
ἤμυνεν, καὶ καρπὸς εὐῤῥήχου παλιούρου·
σὺν καὶ ἀκανθοβόλος χαίτη νεαλεῖς τ' ὀρόβακχοι.
Σίδης δ' ὑσγινόεντας ἐπημύοντας ὀλόσχους
αὐχενίους, ἵνα λεπτὰ πέριξ ἐνερεύθεται ἄνθη.
Ἄλλοτε δ' ὕσσωπός τε καὶ ἡ πολύγουνος ὄνωνις,
φύλλα τε τηλεφίοιο, νέον τ' ἐν βότρυσι κλῆμα·
ἀγλῖθες, καὶ καρπὸς ὀρειγενέος κορίοιο·
ἢ καὶ λεπτοθρίοιο πολύθρονα φύλλα κονύζης.
Πολλάκι δ' ἢ πέπεριν κόψας νέον, ἢ ἀπὸ Μήδων
κάρδαμον ἐμπίσαιο· σὲ δ' ἂν πολυανθέα γλήχων,
στρύχνον τ', ἠδὲ σίνηπι κακηπελέοντα σαώσαι.
Ἄγρει καὶ πρασιῆς χλοερὸν πράσον· ἄλλοτε δ' αὐτῆς
σπέρμ' ὀλοὸν κνίδης, ἥ θ' ἑψίη ἔπλετο κούροις·
σὺν καί που νιφόεν σκύλλης κάρη, αὖά τε βολβῶν
σπείρεα, καὶ καυλεῖον ὁμοκλήτοιο δράκοντος·
ῥάμνου τ' ἀσπαράγους θαμνίτιδος· ἠδ' ὅσα πεῦκαι
ἀγρότεραι στρόμβοισιν ὑπεθρέψαντο ναπαίοις.
Ἐν δὲ σύ γ' ἐκ ποίης ἀβληχρέος ἔγχλοα ῥίζαν
θηρὸς ἰσαζομένην τμήξαις ἰοειδέϊ κέντρῳ
σκορπίου, ἠὲ σίδας Ψαμαθηΐδας, ἅς τε Τρόφεια
Κῶπαί τε λιμναῖον ὑπεθρέψαντο παρ' ὕδωρ,
ἧπερ Σχοινῆός τε ῥόος Κνώποιό τε βάλλει.
Ὅσσα θ' ὑπ' Ἰνδὸν χεῦμα πολυφλοίσβοιο Χοάσπου

πιστάκι᾽ ἀκρεμόνεσσιν ἀμυγδαλόεντα πέφανται·
καυκαλίδας, σὺν δ᾽ αἰθὰ βάλοις φιμώδεα μύρτα,
κάρφεά θ᾽ ὁρμίνοιο καὶ ἐκ μαράθου βρυόεντος·
εἰρύσιμόν τε, καὶ ἀγροτέρου σπερμεῖ᾽ ἐρεβίνθου
σὺν χλοεροῖς θάμνοισι βάλοις βαρυώδεα ποίην.
Ναὶ μὴν καὶ σίσυμβρα πέλει μειλίγματα νούσων,
σὺν δὲ μελιλώτοιο νέον στέφος, ἠδ᾽ ὅσα χαύνης
οἰνάνθης βρύα λευκὰ καταψήχουσι νομῆες,
ὅσσα τε λυχνὶς ἔνερθεν ἐρευθῇς τε θρυαλλὶς
καὶ ῥόδον, ἠδ᾽ ἴα, λεπτὸν ὅσα σπερμεῖον ἀέξει.
Ἢ καὶ πουλύγονον λασίων ὑπάμησον ἰάμνων,
ψίλωθρον, καρπόν τε πολυθρήνου ὑακίνθου,
ὃν Φοῖβος θρήνησεν, ἐπεί ῥ᾽ ἀεκούσιος ἔκτα
παῖδα, βαλὼν προπάροιθεν Ἀμυκλαίου ποταμοῖο,
πρωθήβην Ὑάκινθον, ἐπεὶ σόλος ἔμπεσε κόρσῃ,
πέτρου ἀφαλλόμενος, νέατον δ᾽ ἤραξε κάλυμμα.
Σὺν δέ τε καὶ τριπέτηλον ὁποῖό τε δάκρυα βάλλοις
τρισσοῖς ὁλκήεσσιν ἰσοζυγέων ὀδελοῖσιν·
ἠὲ σύ γ᾽ ἕρπυλλον κεροειδέα, πολλάκι κρῆθμον,
ἢ ποίην κυπάρισσον ἀμέργεο, σὺν δὲ καὶ αὐτοῖς
ἄννησον Λιβυκάς τε ποτῷ ἐνικνήθεο ῥίζας·
ὧν σὺ τοτ᾽ ἀμμίγδην τοτὲ δ᾽ ἄνδιχα πίνεο θρύψας
ἐν κελέβῃ, κεράσαι δὲ σὺν ὄξεϊ, πολλάκι δ᾽ οἴνῃ
ἢ ὕδατι· χραισμεῖ δὲ καὶ ἐνθρυφθέντα γάλακτι.
Ἢν δέ σ᾽ ὁδοιπλανέοντα καὶ ἐν νεμέεσσιν ἀνύδροις
νύγμα κατασπέρχῃ βεβαρημένον, αὐτίκα ῥίζας
ἢ ποίας, ἢ σπέρμα παρ᾽ ἀτραπιτοῖσι χλοάζον
μαστάζειν γενύεσσιν, ἀμελγόμενος δ᾽ ἀπὸ χυλὸν
τύμμασιν ἡμίβρωτα βάλοις ἀπὸ λύματα δαιτὸς,
ὄφρα δύην καὶ κῆρα κατασπέρχουσαν ἀλύξῃς.

Ναὶ μὴν καὶ σικύην χαλκήρεα λοιγέϊ τύψει
προσμάξας ἰόν τε καὶ ἀθρόον αἷμα κενώσεις,
ἠὲ κράδης γλαγόεντα χέας ὀπὸν, ἠὲ σίδηρον
καυστείρης θαλφθεῖσαν ὑπὸ στέρνοισι καμίνου.
Ἄλλοτε φορβάδος αἰγὸς ἐνίπλειον δέρος οἴνης
χραισμήσει τημοῦτος, ἐπὴν σφυρὸν ἢ χέρα κόψῃ,
ἀσκοῦ ἔσω βαρύθοντα μέσον διὰ πῆχυν ἐρείσας
ἢ σφυρὸν, ἀσκοδέταις δὲ πέριξ βουβῶνας ἑλίξεις,
εἰσόκε τοι μένος οἴνου ἀπὸ χροὸς ἄλγος ἐρύξῃ.
Δή ποτε καὶ βδέλλας κορέσαις ἐπὶ τύμμασι βόσκων,
ἢ ἀπὸ κρομμυόφι στάζων ὀπὸν, ἄλλοτε δ' οἴνης
μίγδην ἐν πυράθοισι χέας τρύγα φυρήσασθαι,
ἢ ὄξους, νεαλεῖ δὲ πάτῳ περὶ τύψιν ἑλίξαις.
Ὄφρα δὲ καὶ πάσῃσιν ἀλεξητήριον ἄταις
τευξάμενος πεπύθοιο, τό τοι μέγα κρήγυον ἔσται,
ἦμος ὅτε θρόνα πάντα μιῇ ὑπὸ χειρὶ ταράξῃς,
ἐν μὲν ἀριστολόχεια, καὶ ἴριδος ἐν δέ τε νάρδου
ῥίζαι, χαλβανίδες τε σὺν αὐαλέοις τε πυρέθροις
εἶεν, δαυκείου τε παναλθέος, ἐν δὲ βρυώνης,
σὺν δέ τε ῥιζία χαῦνα νεωρυχέος γλυκυσίδης,
κάρφεά τ' ἐλλεβόρου μελανόχροος, ἄμμιγα δ' ἀφρὸς
νίτρου, σὺν δὲ κύμινα χέαις, βλαστόν τε κονύζης·
ἄμμιγα δ' ἀγροτέρης σταφίδος λέπος, ἶσά τε δάφνης
σπερμεῖα, κύτισόν τε, κατακνήθειν τε χαμηλὴν
ἱππεῖον λειχῆνα, καὶ ἐν κυκλάμινον ἀγείρας.
Ἐν καὶ μήκωνος φιαρῆς ὀπὸν, ἀμφὶ καὶ ἄγνου
σπέρματα, βάλσαμόν τε καὶ ἐν κινάμοιο βαλέσθαι,
σὺν καὶ σφονδύλειον, ἁλός τ' ἐμπληθέα κύμβην,
ἄμμιγα καὶ τάμισον, καὶ καρκίνον· ἀλλ' ὁ μὲν εἴη
πτωκὸς, ὁ δ' ἐν ποταμοῖσι πολυστείοισι νομάζων.

*Καὶ τὰ μὲν ἐν στύπεϊ προβαλὼν πολυχανδέος ὅλμου*
*νάξαι, λαϊνέοισιν ἐπιπλήσσων ὑπέροισιν·*
*αἶψα δ' ἐπ' αὐαλέοισι χέας ἀπαρινέα χυλὸν,*
*ἄμμιγα συμφύρσαιο· καταρτίζοιο δὲ κύκλους*
*δραχμαίους, πλάστιγγι διακριδὸν ἄχθος ἐρύξας,*
*οἴνης δ' ἐν δοιῇσι χαδεῖν κοτύλῃσι ταράξας.*
*Καί κεν Ὁμηρείοιο καὶ εἰσέτι Νικάνδροιο*
*μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολίχνη.*

# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑ

# ΤΟΥ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΑ.

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΑ

# ΤΟΥ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΑ.

V. 1. Ῥεῖά κέ τοι. Ὁ νοῦς οὗτος· ῥαδίως σοὶ τὰ εἴδη καὶ τὰς βλάβας τῶν φονευτικῶν καὶ ὀλεθρίων θηρῶν, ἀπροόπτως καὶ ἀθρόως βλαπτούσας, τήν τε ἴασιν καὶ θεραπείαν τὴν ἀντιπαθῆ τοῦ πόνου, ὦ τῶν πολλῶν συγγενῶν ἐνδοξότατε καὶ προςφιλέστατε Ἑρμησιάναξ, ἀσφαλῶς [σοι om. G.] καὶ ἀκριβῶς διηγήσομαι. [B. ῥεῖά κέ τοι. ἀντὶ τοῦ λίαν ἔμπεδα καὶ στερεῶς φωνήσαιμι καὶ εἴποιμί σοι καὶ τὰ ἑξῆς.] σίνη γὰρ τὰ βλαπτικὰ τύμματα τῶν θηρίων φησὶ, κατὰ περίφρασιν τῶν θηρίων τὰ εἴδη καὶ τὰς βλάβας. Ὀλοφώϊα δὲ, τουτέστι τὰ φῶτας ἀναιροῦντα, ἤγουν ἄνδρας ὀλλύοντα. Οὐχ ὁμηρικῶς δὲ εἶπεν· ἐκεῖνος γὰρ ὀλοφώϊα ἔφη τὰ δόλια· Γέρων ὀλοφώϊα εἰδώς.

V. 2. ἑτεραλκέα δὲ τὴν ἀντιπαθῆ ἀλκὴν λέγει, ὅ ἐστι μηχανὴν ἐναντίαν τῷ τύψαντι, οἷον τὴν θεραπείαν ἐμποιοῦσαν τοῖς δήγμασι τῶν δακέτων, ὥςπερ Ὅμηρος· ἑτεραλκέα δῆμον ἔχοντες. Τὸ δὲ κήδευς Ἰωνικὸν ἀντὶ τοῦ κήδους. Σημαίνει δὲ τὸ κῆδος τρία, τὴν ἐξ ἐπιγαμβρίας συγγένειαν, καὶ τὴν φροντίδα, καὶ τὸ κακὸν, ὡς ἐνταῦθα. 3. Φίλ' Ἑρμη-

σιάναξ. Ὁ Ἑρμησιάναξ φίλος τῷ Φιλητᾷ καὶ γνώριμος ἦν· τούτῳ δὲ τὰ Περσικὰ γέγραπται, τὰ εἰς Λεόντιον τὴν ἐρωμένην. Οὐ δύναται δὲ Νίκανδρος μνημονεύειν τούτου διὰ τῆς προσφωνήσεως, διὰ τὸ τὸν Φιλητᾶν πρεσβύτερον εἶναι Νικάνδρου· καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται τοῦ Ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῷ περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν. Ἔστιν οὖν οὗτος ἑταῖρος Νικάνδρου ὁμώνυμος τῷ προτέρῳ. Δῆλον δέ, ὅτι συγγενὴς αὐτοῦ ἦν· ὁ γὰρ πάος σημαίνει τρία, τόν τε φίλον, καὶ τὸν συγγενῆ, ἔτι δὲ καὶ τὸν ἐξ ἐπιγαμβρίας οἰκεῖον. Ἔστι δὲ [καὶ om. B.] ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου, διόπερ πολλαῖς λέξεσιν αὐτοῦ κέχρηται· διὸ καὶ ἐν ἐνίοις δωρίζει, ὡς καὶ νῦν ἐν τῷ παῶν· πηῶν γάρ ἐστι, ὅ ἐστι τῶν συγγενῶν.'

V. 3. Βουκαῖος. θεριστής, βουκόλος, ὁ ζεύγεσι βοῶν ἑπόμενος· ἢ γαιηπόνος ἁπλῶς. ἀλέγοι δὲ ἐν φροντίδι σχοίη καὶ τιμήσοι. Ὀρειτύπος δὲ ὑλοτόμος. καὶ ὕλη ὁ σύνδενδρος τόπος. 6. ἐπίλοιγον δὲ ὀδόντα τὸν θανάσιμον. ἢ ἐπὶ λοιγὸν, ἵν᾽ ᾖ, ἐπιβάλῃ τὸν λοιγὸν ὀδόντα. 7. περιφρασθέντος δὲ ἐγνωκότος, μεμαθηκότος. Ἀπὸ αἰτιατικῆς δὲ μετέβη εἰς γενικήν· σὲ δ᾽ ἂν πολυεργὸς τοῖα περιφρασθέντα κατὰ διάλεξιν φράσεως. 8. Φαλάγγια. εἶδος μικρῶν ὄφεων. [Φασὶ δὲ, ὅτι Ἀράχνη ἤρισε τῇ Ἀθηνᾷ περὶ ἔργων, γυνὴ οὖσα τὸ πρῶτον, καὶ διὰ τοῦτο μετεβλήθη εἰς τὸ νῦν ζῶον.] ἀνίγρους δὲ ἤτοι ἀνιαροὺς, λυπηροὺς, αἰτίους κακοῦ. 9. ἑρπηστὰς δὲ εἶπε πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων ἑρπετῶν· ἐρεῖ γάρ τις, ὅτι πάντα ἕρπουσι καὶ ἑρπετά εἰσιν, ἀλλὰ λέγομεν, ὅτι τὰ μὲν ἄλλα ἑρπετὰ ᾠοτοκοῦσιν, οἱ δὲ ἔχιες ζωοτοκοῦσι· διὸ ἐκ τόκου εὐθέως ἕρποντα τὰ γεννήματα τίκτουσιν· ὅπερ οὐχ ὁρᾶται ἐν τοῖς ἄλλοις ἑρπετοῖς· ἐκεῖνα γὰρ ᾠὰ τίκτει, καὶ οὐ ζῶα, ὡς οἱ ἔχιες. ἄχθεα δὲ γῆ-

τοι βλάβας, εἰ δὲ διὰ τοῦ ε ἔχθεα, τὰ στυγήματα καὶ τὰ ἐχθρά. 10. Τιτήνων. ἐκ τοῦ αἵματος τοῦ Τυφωέως μετὰ τὸ κεραυνωθῆναι αὐτὸν ταῦτα τὰ θηρία ἀνεδόθησαν. 11. Ἀσκραῖος, ὁ Βοιωτός· καὶ γὰρ Ἄσκρη κώμη Βοιωτίας ἐστὶν, ὅθεν Ἡσίοδος ἐτύγχανεν, ὥς φησι καὶ αὐτὸς τῷ αὐτοῦ ἀδελφῷ Πέρσῃ, διὰ τὸν αὐτῶν πατέρα· Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ Ἄσκρῃ, χεῖμα κακῇ, [θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.] Ἰστέον δὲ, ὅτι ψεύδεται ὁ Νίκανδρος ἐνταῦθα· οὐδαμοῦ γὰρ τοῦτο εἶπεν Ἡσίοδος ἐν τοῖς πραττομένοις. Μελισσήεντα δέ φησι τὸν τόπον τοῦ Ἑλικῶνος, ἐν ᾧ εὗρε τὰς Μούσας, ὃς οὕτως ἐκλήθη ἀπὸ Μελισσέως βασιλεύσαντος τοῦ τόπου. Περὶ γοῦν τῆς τῶν δακνόντων θηρίων γενέσεως, ὅτι ἐστὶν ἐκ τῶν Τιτάνων τοῦ αἵματος, παρὰ μὲν τῷ Ἡσιόδῳ οὐκ ἔστιν εὑρεῖν, Ἀκουσίλαος δέ φησιν, ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκετα γενέσθαι. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῇ τῆς Ἀλεξανδρείας κτίσει ἀπὸ τῶν σταγόνων τοῦ τῆς Γοργόνος αἵματος. Ὁ δὲ Ζηνοδότειος Θεόφιλος ἱστορεῖ, ὡς ἄρα ἐν τῇ Ἀττικῇ δύο ἐγένοντο ἀδελφοὶ, Φάλαγξ μὲν ἄρσην, θήλεια δ' Ἀράχνη τοὔνομα· καὶ ὁ μὲν Φάλαγξ ἔμαθε παρὰ τῆς Ἀθηνᾶς τὰ περὶ τὴν ὁπλομαχίαν, ἡ δὲ Ἀράχνη τὰ περὶ τὴν ἱστοποιΐαν· μιγέντας δὲ ἀλλήλοις στυγηθῆναι ὑπὸ τῆς θεοῦ καὶ μεταβληθῆναι εἰς ἑρπετὰ, ἃ δὴ καὶ συμβαίνει ὑπὸ τῶν ἰδίων τέκνων κατεσθίεσθαι. 13. Ἐν δὲ τῷ χαλαζήεντα εἶδος ἀντὶ γένους παρέλαβεν· εἰσὶ γὰρ σκορπίοι χαλαζήεντες, διὰ τὸ τοὺς δεδηγμένους ὑπ' αὐτῶν ἱδροῦν, ὡς ὑπὸ χαλάζης καὶ ὑετοῦ βεβρεγμένους. Τιτηνὶς δὲ ἡ Ἄρτεμις, ἡ Λητοῦς θυγάτηρ καὶ Κοίου τοῦ Τιτᾶνος. 15. Βοιωτῷ τεύχουσα. Οὐριεὺς γὰρ ἦν ὁ πατὴρ Ὠρίωνος· ἐκλήθη δὲ οὕτως, ἐπειδὴ ἀπὸ τῶν οὔρων τοῦ Διὸς καὶ Ἀπόλλωνος καὶ Ποσειδῶνος

ἐγένετο. [Ὁ δὲ Ὠρίων οὗτος, ὥς τινές φασι, τῇ Ἀρτέμιδι καὶ τῇ Λητοῖ ἐπηγγείλατο, ὡς οὐδὲν τῶν θηρίων φεύξεται αὐτόν. ὑπὸ δὲ τοῦ σκορπίου πληγεὶς ἀπέθανεν. Ὁ δὲ Ζεὺς κατηστέρισεν αὐτόν τε καὶ τὸν σκορπίον ἐν τοῖς ἄστροις, εἰς σημεῖον τῆς αὐτοῦ πράξεως. Οἱ δὲ πλείους Ταναγραῖον εἶναί φασι τὸν Ὠρίωνα. Κόριννος δὲ εὐσεβέστατον αὐτὸν λέγει, καὶ ἀπελθόντα πολλοὺς τόπους ἡμερῶσαι καὶ καθαρίσαι ἀπὸ θηρίων. Ἡσίοδος δέ φησιν αὐτὸν ἐξ Ὑέλου τῆς Μίνωος θυγατρὸς εἶναι καὶ Ποσειδῶνος· δοθῆναι δὲ αὐτῷ δωρεὰν, ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι καὶ ἐπὶ τῆς γῆς· ἐλθόντα δὲ εἰς Χίον πρὸς Οἰνοπίωνα, Ἀερόπην τὴν γυναῖκα βιάσασθαι οἰνωθέντα· Οἰνοπίωνα δὲ χαλεπήναντα ἐκτυφλῶσαι αὐτὸν, καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον Ἡφαίστῳ συμμίξαι, ὃς ἐλεήσας αὐτὸν, δίδωσιν αὐτῷ Κηδαλίωνα ἕνα τῶν θεραπόντων, ὃς δὴ ὡδήγησεν αὐτὸν ἐπὶ τὰς ὁδούς. Ἐλθὼν δὲ ἐπὶ τὰς ἀνατολὰς καὶ συμμίξας Ἡλίῳ καὶ ὑγιασθεὶς ἀνῆλθεν ἐπὶ τὸν Οἰνοπίωνα· ὁ δ᾽ Οἰνοπίων ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκρύπτετο· ἀπελπίσας δὲ τὴν εὕρεσιν ᾤχετο εἰς Κρήτην καὶ ἐκυνηγέτει. καὶ ἐκεῖσε ὁ σκορπίος πεμφθεὶς ὑπὸ Λητοῦς καὶ Ἀρτέμιδος, χολουμένης αὐτῷ ἴσως διὰ τὴν μεγαλαυχίαν, ἔπληξε τὸν Ὠρίωνα, καὶ οὕτως ἀπέθανε.] Τὸ δὲ ὑπὸ λᾶϊ (18.) ἀντὶ τοῦ ὑπὸ λίθῳ, παρόσον ὑποκάτω τῶν λίθων οἱ σκορπίοι κρύπτονται· ὡς Σοφοκλῆς ἐν Αἰχμαλώτοις· ἐν παντὶ γάρ τε σκορπίος φρουρεῖ λίθῳ. Τὸ δὲ λοχήσας γράφεται καὶ δοκήσας καὶ τυχήσας· καὶ εἰ μὲν δοκήσας, ἐπιτηρήσας· εἰ δὲ λοχήσας, ἐνεδρεύσας· εἰ δὲ τυχήσας, ἀντὶ τοῦ ἐπιτυχών. 20. Κυνηλατέοντος δὲ ἀντὶ τοῦ κυνηγετοῦντος· ὡς Εὐφορίων· αὐτῷ σὺν τελαμῶνι νεοτμήτῳ. 22. ἀπ᾽ ἐρίπνης, τῆς ἀκρωρείας, παρὰ τὸ περιπνέεσθαι, οἷον πολὺ πνέεσθαι, ἢ τῆς

κοιλότητος, παρὰ τὸ ἐριπέναι ἤγουν πεσεῖν καὶ κοιλανθῆναι. ἢ ἐρίπνη τὸ ῥῆγμα τοῦ ὄρους, παρὰ τὸ δοκεῖν ἐρίπεσθαι· [τοῦτο δὲ μᾶλλον νῦν δοκεῖ σημαίνειν.] 23. αὐτοπόνοιο, τῆς οἰκείας καὶ αὐτοσχεδίου καὶ εὐτελοῦς χαμαιστρωσίας· παρὰ δὲ Ἀττικοῖς χαμευνάδες λέγονται τὰ μικρὰ κλινίδια. Τὸ δὲ πυρόεσσαν (24.) γράφεται καὶ πνιγόεσσαν, τουτέστι καυστικήν· ἐπεὶ καὶ οἱ ἐν ἀκμῇ ὄντες τοῦ καύματος δοκοῦσι πνίγεσθαι. Τὸ δὲ ἀκρέσπερος (25.) ἤτοι κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς καὶ περὶ ἄκραν ἑσπέραν. 27. Κινώπετα δὲ τὰ θηρία τὰ ἐν τῷ πέδῳ κινούμενα, οἷον κινώπεδά τινα ὄντα. 28. Δρυμοὺς δὲ τοὺς συμφύτους τόπους· πᾶν γὰρ δένδρον ἐκάλουν οἱ ἀρχαῖοι δρῦν. Καὶ λασιῶνας, τοὺς δασεῖς τόπους καὶ ὑλώδεις. ἀμορβαίους δὲ χαράδρας τὰς βουκολικὰς ἢ ποιμενικὰς, ὅπου οἱ βουκόλοι περιπατοῦσι. [ἢ ἀμορβαίους χαράδρας τὰς σκοτεινώδεις· ἀμορβὸν γὰρ τὸ σκοτεινὸν παρὰ τὴν ὀρφνὴν, ἐλλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β· ἢ ἄμορφόν τι ὂν καὶ ἀμορβόν.] 29. λιστρωτὸν, τὸ ὁμαλὸν καὶ ἐξυσμένον· λίστρον γὰρ οἱ ξυστῆρες· καὶ Ὅμηρος· λίστροισι δαπέδοις. Ἡ δὲ σύνταξις οὕτως· καὶ παρὰ τὸν λιστρωτὸν δρόμον τῆς ἅλωνος, καὶ ὅπου βοτάνη κυϊσκομένη, κύουσα καὶ θάλλουσα, οἷον τικτομένη καὶ αὐξανομένη. 30. ἰάμνους δὲ τὰς εἰαμενὰς, ἤγουν τοὺς συμφύτους τόπους. 32. μῶλυς δὲ βραδὺς καὶ νωθὴς ἢ μογερός· ἢ νωχελὴς καὶ ἁπαλὸς, ὁ γεγηρακὼς ὄφις καὶ μόλις βαίνων· ἢ καὶ ὁ ταχὺς καὶ μολῶν· ἄμεινον δὲ τὸ πρῶτον. Ἰστέον δὲ, ὡς οἱ ὄφεις ἐν τῷ χειμῶνι τυφλοὶ γίνονται ἀπὸ τοῦ παγετοῦ· ἐν δὲ τῷ ἔαρι γευσάμενοι μαράθου πάλιν ὀξυδερκοῦσι καὶ ἀναβλέπουσι, καὶ τὸ λοιπὸν φεύγοντες τοὺς φωλεοὺς αὐτῶν εἰς ἡλιώδεις ἔρχονται τόπους. [ὃ δὴ καὶ Νίκανδρος νῦν λέγει.] 33. μαράθου. ὁ χυλὸς τοῦ μαρά-

θου ὀξυδερκίαν παρέχει καὶ οἱ δράκοντες περιχρίουσιν ἑαυτοὺς τῇ οὐρᾷ. 35. Θιβρὴν δὲ τὴν θερμὴν καὶ ὀξεῖαν, διὰ τὰς ἐξ αὐτῆς γινομένας φλεγμονάς. Καλλίμαχος· θιβρῆς Κύπριδος ἁρμονίης. καὶ Εὐφορίων· θιμβρήν τε Σεμίραμιν. 37. ἐγγαγγίδα δὲ πέτρην τὴν γαγγῆτιν λίθον· ἐν Γάγγαις γὰρ τῆς Λυκίας εὑρίσκεται· ἡ γὰρ Γάγγη πόλις τῆς Λυκίας, ἔνθα ὁ λίθος οὗτος εὑρίσκεται· γίνεται δὲ παρὰ τοῖς αἰγιαλοῖς μέλας τε καὶ χλωρός. Ταύτης δὲ τῆς λίθου τὸ πῦρ οὐχ ἅπτεται, ἀλλὰ μόνον καιομένη ἀσφαλτώδη ἔχει ἀποφορὰν καὶ ὀσμὴν, ὑφ' ἧς οἱ δράκοντες ἀποτρέπονται. 39. ἐν δὲ πολυσχιδέος· διότι εἰς πολλὰ ἔσχισται τὰ φύλλα αὐτοῦ. βλῆτρος δὲ ἐστὶν ἡ λεγομένη πτέρις, ἤγουν τὸ βλάχνον· ἔστι δὲ δριμεῖα καὶ δηκτική· διὸ καὶ τὰς πλατείας ἕλμινθας ἐκβάλλει καὶ ἀποσύρει μετὰ πολλῆς καθάρσεως χολώδους [βίᾳ.] 40. καχρυόεσσαν δὲ τὴν λιβανωτίδα λέγει, ὅτι ἡ ῥίζα αὐτῆς κριθῆς ῥίζῃ παρέοικε. περιθαλπέα δὲ τὴν θερμὴν [ἢ πυρὶ θάλπουσαν] τοιαύτη γὰρ ἡ κάγχρυς, τραχεῖα καὶ τὴν ἀρτηρίαν ἀναχαράσσει, καὶ τῇ γεύσει ἐπικαίει οὐχ ἧττον πεπέρεως. 41. καρδάμῳ ἐμμίξας. Τὸ δὲ κάρδαμον δριμὺ καὶ πληκτικὸν καὶ πυρῶδες· διὸ καὶ λειχῆνας ἀποσμήχει, λέπρας ἐκτρίβει, ἄνθρακας ῥήσσει, [ἔμμηνα κατάγει,] πρὸς συνουσίαν κινεῖ, [τὸ νεῦρον τῇ θερμότητι κινοῦσα.] Διὰ ταῦτα οὖν πάντα χαλεπὸν τοῖς θηρίοις ἐκπνεῖ ἀναθυμίασιν. ἰσοελκέϊ, ἴσην ὁλκὴν ἔχοντι, ἤγουν ἰσοσταθμῳ. ἔνοδμον δὲ τουτέστι νεαρὸν, ἔτι τὴν ὀδμὴν τοῦ κρέατος ἔχον νεωστὶ ἐσφαγμένου τοῦ ζώου· ἢ ἔνοτμον, νέον, οἷον ἀρτίως κοπὲν, ἀντὶ τοῦ ὠμόν. 42. ἀσκελὲς δὲ τὸ αὐτὸ σκέλος ἢ τὸν αὐτὸν πηχισμὸν, ὅ ἐστιν ἴσον. 43. Ἡ μέντοι μελάνθειος βαρεῖά ἐστιν· ἔστι δὲ πόα δυναμένη ψυγμὸν ἀπελάσαι, εἴ τις τρίψας τρὶς προσενέγκοι τῇ ῥινί. ἄλλοτε θείου. τὸ δὲ

θεῖον καὶ ἄσφαλτος ἄμφω βαρύοδμα καὶ πνευματικά. διὸ καὶ ἔμμηνα ῥήγνυει, καὶ καταῤῥοὺς ἵστησι, καὶ λεπροὺς καὶ φακοὺς ἐκλεαίνει τὸ θεῖον, ὀρθόπνοιαν διαλύει, καὶ ληθαργικοὺς ὑποθυμιώμενον ἀνίησιν. ἡ δὲ ἄσφαλτος ἐπιληπτικοὺς ἐκταράσσει· πινομένη δὲ ἐν οἴνῳ πυρετοὺς τεταρταίους ἐξελαύνει, σφοδρότητι καὶ τραχύτητι τοῦ πνεύματος. [Οὐ θαυμαστὸν δὲ, εἰ καὶ τοῖς θηρίοις ταῦτα ἐνοχλεῖ.] 45. Θρήϊσσαν. λίθος ἐστὶν, ἥτις βρεχθεῖσα τῷ ὕδατι καίεται· ὅτε δὲ εἰς αὐτὴν ἔλαιον βληθῇ, σβέννυται. [Ἀριστοτέλης δέ φησι τὸν ποταμὸν τοῦτον ἐν Μηδικῇ καὶ Ἰνδικῇ εἶναι, ἐν ᾧ καὶ ὁ λίθος οὗτος γεννᾶται· οὗ ἡ μὲν ὀσμὴ ἀσφαλτώδης καὶ δριμεῖα, ἡ δὲ φύσις αὐτοῦ σύμπηξιν γεώδη ἀσφάλτου ξηρᾶς πρὸς τὸ λιθῶδες ἔσχε· καὶ διὰ τοῦτο ἐν ὕδατι ἀναφλέγεται μᾶλλον· ἡ γὰρ ἰκμὰς ἰσχὺν τῇ ἀσφάλτῳ προστίθησι, καὶ τὸ ξηρὸν αὐτῆς ἐκκαὲς ποιεῖ.] 50. ἀεργηλοῖσιν ἢ τοῖς λευκοῖς κατὰ ἔρια, ἢ τοῖς ἀργοῖς· ἐπειδὴ τῶν ἄλλων ζώων ἀργότερά ἐστι τὰ θρέμματα καὶ νωθρότερα· [μᾶλλον δὲ τὰ πρόβατα.] οὐ γὰρ νωτοφόρα κατὰ τοὺς ὄνους ἢ ἡμιόνους ἢ βόας· ἢ τοῖς μὴ ἐργαζομένοις, πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. 52. Χαλβάνη. Τὴν χαλβάνην ὁ Διοσκορίδης φησὶν ὀπὸν εἶναι νάρθηκος Συριακοῦ· [ὁ δὲ Θεόφραστος βέλτιον ὀπόν.] [ἄκνηστις δὲ οἱονεὶ πολύκνηστις, ὥσπερ καὶ τὸ ἄξυλος ὕλη, ἡ πολύξυλος.] Ταύτην δὲ οἱ μὲν τὴν κνίδην, οἱ δὲ τὴν σκίλλαν ἢ ἀκαλήφην, [ὁ μὲν Τυραννίων τὴν σκίλλαν,] Ἀπολλώνιος δὲ ὁ Μεμφίτης τὸ κνέωρον, ὃ δή τινες κνήστραν καλοῦσι. Τὸ δὲ ἑξῆς πριόνεσσι τομαίη ἐν ὑπερβάτῳ· καὶ ἡ ὑπὸ τοῖς πολυοδοῦσι γενείοις τῶν πριόνων τεμνομένη κέδρος, ἀντὶ τοῦ, τὸ πρίσμα τῆς κέδρου ἀποτρεπτικὴν ὀδμὴν τῶν δακέτων ἐμποιεῖ. Οἱ δὲ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ ἁπλῶς ξύλον τῆς κέδρου· καὶ γὰρ τὰ ἑρπετὰ ψυχρὰ

όντα τὴν κέδρον διὰ τὸ ξηραντικὸν φεύγει· διὸ καὶ τοὺς νεκροὺς ἀσήπτους ποιεῖ, τὸ νοτερὸν καὶ ῥευστικὸν ἐκπιοῦσα· ὅθεν καὶ νεκρῶν ζωὴν ἔνιοι αὐτὴν ἐκάλεσαν. Οἱ δὲ ὄφεις δέονται τῶν χαλώντων. Τὸ δὲ καταψηχθεῖσα ἀντὶ τοῦ διαιρεθεῖσα· ψώχειν γὰρ καὶ ψήχειν ἐστὶ τὸ διαιρεῖν· ἢ κατακνησθεῖσα, οἱονεὶ καταπρισθεῖσα. 55. Χηραμὰ δὲ τὰ κοιλώματα, παρὰ τὸ χεῖσθαι καὶ χωρεῖν ἐν αὐτοῖς. 57. **Εἰ δὲ τὰ μὲν καμάτου.** καὶ κόπος ἐστὶν τοῦ εὑρεῖν τὰς βοτάνας. 59. πολυῤῥαγέος· πολλὰς ῥεύσεις ἔχοντος, ἢ τοῦ βιαίου καὶ πάντα ῥήσσοντος· διὰ τὸ ῥαγδαῖον. Ὑδρηλὴν δέ φησι τὴν χλωράν· ἢ ὑδρηλὴν εἶπεν, ἐπειδή ἐστι καὶ ὀρεινὴ πόα· διαστέλλει οὖν τὸ εἶδος. Τινὲς δὲ ἀγρίαν γλήχωνα αὐτὴν καλοῦσι. [Πάντα δὲ τὰ εἰρημένα βαρύοδμα καὶ θερμὰ καὶ θεραπεύει.] Ἡ δὲ καλάμινθος ἐν ὀῤῥῷ γάλακτος πινομένη ἐλεφαντίασιν καὶ χοιράδας καταπλαττομένη ἴαται, μετὰ δὲ οἴνου δοθεῖσα ἴκτερον παύει. Χαιτήεσσαν δὲ, εἰ μὲν διὰ τοῦ χ, τὴν δασεῖαν καὶ κομῶσαν τοῖς φύλλοις· κόμη γὰρ τῶν βοτανῶν τὰ φύλλα, ὡς αἱ τρίχες τῶν ἀνθρώπων· εἰ δὲ διὰ τοῦ κ, τὴν μεγάλην καὶ ὑψηλὴν, ὡς κῆτος, οἱονεὶ κητώεσσαν οὖσαν. 62. ἀγλαύροις τοῖς λαμπροῖς, κατὰ μετάθεσιν τῶν στοιχείων, οἷον ἀγραύλοις, τοῖς καλοῖς, ἢ καὶ τοῖς ἀγλαὰς αὔρας ἔχουσιν, ἢ τοῖς ἁγλαύροις, τοῖς διαλελυμένοις καὶ τρυφεροῖς. 63. Λύγος δὲ εἶδος φυτοῦ ἔχον κλάδους πέντε. 64. ἢ πόλιον. τὸ πόλιον εἶδος βοτάνης [βαρύοσμον.] τονοῦται δὲ καὶ πόλιον καὶ πολιόν· ἄμεινον δὲ τὸ πόλιον, ἵνα μὴ ᾖ ὡς ἐπίθετον. Οὐκ ἔστι δὲ ἡ λιβανωτὶς, ἀλλ' ἔχει πέταλον μὲν μαλακώτερον θύμου καὶ δασύτερον, μέγεθος δὲ οἷον ῥάβδους ἀπὸ τῆς ῥίζης πολλὰς ἀναδίδωσιν· ἡ δὲ ῥίζα ξυλώδης. Πάντα δὲ ταῦτα βαρύοδμα. 65. **Ἐχίειον.** τοῦτο ὅμοιον τῷ πολίῳ τὴν χροιάν· ἀφομοιοῦται δὲ πρὸς τὸν ἔχιν.

τινὲς δὲ λέγουσιν, αὐτὸ ἔχειν φύλλα ὅμοια ἔχιος κεφαλῇ. διὸ οὕτως ὠνομάσθη. Δύο δὲ ταύτης γένη· τὸ μὲν ὤκιμον, τὸ δὲ ἐχίειον, ὅπερ τραχύτερόν ἐστι. ὀριγανόεσσα. τὸ ὀρίγανον μετ' οἴνου γάλα κατασπᾷ πινόμενον καὶ ἀδήκτους φυλάττει τοὺς πίνοντας. 66. ἀβροτόνοιο. τοῦ ἀβροτόνου δύο γένη εἰσί, τὸ μὲν κηπεύσιμον, τὸ δὲ ὀρεινὸν καὶ ἐν ἀργεννόεσσι τόποις εὑρισκόμενον. διὸ εἶπεν ἀργεννὴν ὑπὸ βῆσσαν. Τοῦτο δὲ προκρίνει τοῦ κηπευσίμου, ὡς πρακτικώτερον. ἀβρότονον δὲ ὠνόμασται, διὰ τὸ πρὸς ἄψιν ἁβρὸν καὶ ἁπαλὸν φαίνεσθαι, ἄλλως τε καὶ διὰ τὸ δύσπνουν εἶναι. 67. ἢ ἑρπύλλοιο. ἕρπυλλος εἴρηται παρὰ τὸ ἕρπειν αὐτοῦ τὰς ῥίζας ἐπιπολύ· διὰ τοῦτο καὶ νομαῖον, διότι ἐπιπολὺ νέμεται. Δύο δὲ αὐτοῦ εἴδη· ὁ μὲν γὰρ ἥμερος, ὁ δὲ ἄγριος· εἶναι δὲ καὶ ὤκιμον μεταβάλλον ἐξαμελούμενον εἰς τὸν ἕρπυλλον· ἔστι δὲ πολύχυτον, πνευματῶδες· τῷ δὲ πνεῖν τρέπει τὰ θηρία· ἢ νομαῖον εἴρηται, διότι πανταχόσε βάλλει ἑαυτοῦ τοὺς κλάδους· καὶ τὸ ἐπίθετον ὁμοφώνως τῷ κυρίῳ· ἕρπυλλος γὰρ καλεῖται παρὰ τὸ ἕρπειν· ἔνθεν καὶ νομαῖον παρὰ τὸ νομήν· φιλόζωος δὲ ὁ ἕρπυλλος, ὡς κισσὸς δὲ ἀνθεῖ, περὶ τὰ ἄλλα ἄνθη ἑλισσόμενος καὶ περιβοσκόμενος περιλαμβάνει. 70. κονύζης. Κόνυζα εἶδος βοτάνης· ψυκτικὴ δὲ αὕτη πρὸς συνουσίαν· διὸ καὶ ἐν τοῖς Θεσμοφορίοις ἐστρώννυτο. χαμαιζήλοιο δὲ τῆς χαμαιπετοῦς. Δύο δὲ εἰσὶ καὶ αὐτῆς γένη, ἡ μὲν ἀγρία, ἡ δὲ ἥμερος· ἀλλ' ἡ μὲν ἀγρία δριμυτέρα ἐστὶ τῆς ἡμέρου κονύζης. 71. Τὸ δὲ ἄγνου βρύα λευκὰ πρὸς ἀντιδιαστολὴν τέθεικεν· ἐπεί ἐστι καὶ μέλας ἄγνος· πολυανθὴς δέ ἐστιν ὁ λύγος τοῦ ἄγνου, ὃν ἐν τοῖς Θεσμοφορίοις ὑπεστρώννυντο αἱ γυναῖκες· ἀντιπράττει γὰρ πρὸς συνουσίαν· διὸ καὶ ἄγνος λέγεται, ἄγονός τις ὤν· βρύα δὲ τὰ ἄνθη. Ὅμηρος· καί τε βρύει ἄνθεϊ

λευκῷ. λευκὰ δὲ πρὸς ἀντιδιαστολὴν τῶν μελάνων. τὸ δὲ σπέρμα τοῦ ἄγνου καὶ πινόμενον καὶ χριόμενον ἀπαλλάττει τῶν πυρετῶν, καὶ ποιεῖ ἱδρῶτας· ὑδρωπικοῖς τε καὶ σπληνικοῖς βοηθεῖ, εἰς κύστιν ἐκκαθαιρομένων τῶν ὑγρῶν. Ὁμοίως δὲ καὶ τὸ πόλιον βοηθεῖ ἰκτερικοῖς, πολέμιον δὲ ταῖς κυούσαις γυναιξίν· ἐκβάλλει γὰρ τὰ ἔμβρυα. Καὶ ὀνόγυρος δὲ εἶδος θάμνου· καλοῦσι δὲ αὐτὸν οἱ μὲν ἀνάγυρον, οἱ δὲ ὀνόγυρον· οἱ δὲ ἄκοπον, οἱ δὲ ἀγνάκορον, οἱ δὲ ὀζόγυρον. ἐμπρίοντα δὲ τὸν ἀκανθώδη καὶ τραχύν· πριωνώδη γὰρ ἔχει φύλλα. 73. Μόσχον δὲ τὸν κλάδον φησί. Γράφεται δὲ καὶ πολυαυχέα καὶ πολυανθέα. 74. Τὰ δὲ σκύρα ὄρεξιν τῶν ἀφροδισίων παρέχει τοῖς βουσίν· ὡς οὖν τῶν βουκόλων ἐπεχόντων τὰς βοῦς καὶ κοπιώντων, τὰ σκύρα ἐχθρὰ εἴρηται. τὸ δὲ τάτ' εἴαρι ἀντὶ τοῦ ἅτινα σίνατο καὶ ἔβλαψε τὸν βούτην ἤγουν τὸν βουκόλον· ἢ ὅτι ἐπέχων αὐτὰς κοπιᾷ, ἢ ὅτι ἐκτέμνει ὑπὲρ τοῦ μὴ γεύσασθαι αὐτῶν τὰς βοῦς. Οἱ δὲ τὸ ἐρυθράδιον φασὶν, ἐπεὶ φοινίσσεται τὰ δέρματα τῶν γευομένων ζώων. 75. Τὸ δὲ σκυρόωσιν ἀντὶ τοῦ ὀργῶσιν ἢ σκιρτῶσιν ἢ ἐκμαίνωνται· τῶν γὰρ σκύρων γευσάμεναι αἱ βόες ἐκκλίνονται· καὶ ταύτῃ ταῖς βουσὶ μανίας ἐστὶ παρασκευαστικά. Βούτην δὲ βουκόλον· ταῦτα γὰρ βλάπτουσι τοὺς βουκόλους, διότι οἱ βόες τρώγοντες αὐτὰ ὁρμητικοὶ καὶ ἐπόρεκτοι γίνονται πρὸς τὰ ἀφροδίσια, καὶ λοιπὸν ἀναπτεροῦνται καὶ φεύγουσι τὰς ἀγέλας· ὥστε ἀναγκάζονται οἱ βουκόλοι διώκειν. 76. Ἡ δὲ πευκέδανος βοτάνη ἐστὶ πικρά. βαρύνεται δὲ, ἵνα μὴ ᾖ ἐπίθετον. 78. ἀγραυλέϊ κοίτῃ, τῇ ἐν τῷ ἀγρῷ γινομένῃ· ἡ δὲ λέξις ἀγροική. 79. χελείαις δὲ ταῖς καταδύσεσι, παρὰ τὸ χεῖσθαι ἐν αὐταῖς τοὺς ὄφεις. 81. Κεδρίδας τὸν καρπὸν τῆς κέδρου· ἔχουσι γὰρ αὗται ὑγρότητα ἐλαιώδη. 83.

Τὸ δὲ λίπει ἐνὶ ἀντὶ τοῦ ἐλαίῳ τῷ ἐξ αὐτῶν, ὅπερ ἐστὶ ξηραντικόν. 84. ἀλθήεντα δὲ τὸν πρὸς ὑγείαν λαμβανόμενον, ὅ ἐστι θεραπευτικόν. 85. ἦν κνηστῆρι. ὀδόντες δὲ οἱ δύδοικες καὶ τριβεῖς. ἀντιπτώσει δὲ ἐχρήσατο· ἔδει γὰρ εἰπεῖν κνηστῆρες ὀδόντες. 86. πολλάκι καὶ βροτέων. Ὅτε ἐστὶ νῆστις ὁ ἄνθρωπος, τότε τὸν σίαλον αὐτοῦ φεύγει ὁ ὄφις. 88. ἐπὶ χλωρηΐδα. χλωρὰν ἐπὶ τῷ νώτῳ. Ἰστέον δὲ, ὅτι τινὲς βοτάνην εἶναί φασι, τινὲς δὲ τὸ ζωΰφιον ὑπέλαβον. 89. ἀγριάδος δὲ μαλάχης κατὰ συναλοιφὴν τῆς ἀγριομαλάχης, ἣν καὶ ἀλθαίαν καλοῦσιν· ἐγκύμονα δὲ κεκλεισμένον, ἀπαλὸν, μήπω ἐξηνθηκότα. 90. ἰαύοις δὲ κοιμήσαιο. 91. ψήχεο δὲ ἤγουν ἀνάτριβε ἐν τῇ κοιλότητι τῆς θυείας. μυλόεντι δὲ τῷ λιθίνῳ, τῷ μυλοειδεῖ. 92. ὀράμνους δὲ τοὺς κλάδους· κατὰ συγκοπὴν δὲ εἶπεν οἷον ὀροδάμνους παρὰ τὸ ὀρούειν. 93. Τὸ δὲ ὀδελοῦ ἀντὶ τοῦ ὀβελοῦ, Δωρικῶς καὶ Αἰολικῶς. καὶ Θεόκριτος (5, 27.) δηλεται τὸ βούλεται. αἴσιος ὁλκὴ, ἀντὶ τοῦ ἴση· ἴσῳ γὰρ, φησὶ, σταθμῷ βαλὼν τρίβε· διὰ γὰρ τοῦ αἴσιον σημαίνει τὸ καθῆκον καὶ ἰσόσταθμον ποιεῖσθαι. 94. δαύκου· διχῶς δαύχμου γράφεται γλύκου. Ἔστι δὲ ῥιζίον παρόμοιον σταφυλίνῳ. Ἀντίγονος δὲ λέγει δαύχμου· ἔστι δὲ δάφνη πικρά. χειροπλήθη δὲ ὅσον πληρῶσαι τὴν χεῖρα. Δύο δὲ γένη τῆς βοτάνης· ἡ μὲν γὰρ Κρητικὴ, ἡ δὲ Ἀσιατική. Ὁ δὲ Πλούταρχος πλείονα μέν φησιν αὐτῆς γένη εἶναι, τὸ δὲ κοινὸν τῆς δυνάμεως ἰδίωμα δριμὺ καὶ πυρῶδες, ὡς ἥ γεῦσις αἰσθάνεται καὶ ἡ ὄσφρησις· καὶ πειρωμένοις δῆλον εἶναι· καὶ γὰρ ἔμμηνα κινεῖσθαι σφόδρα ποιεῖ, καὶ διαλύει στρόφους ὑπὸ τῆς θερμότητος, καὶ τῶν περὶ τὸν θώρακα καὶ σπλάγχνα παθῶν καθαρτικὴν καὶ λεπτυντικὴν ἔχει δύναμιν. 96. Τὸ δὲ τέρσαι ὑπὸ σκιόεντι ἀντὶ τοῦ ξήραινε, φη-

σὶν, ἐν σκιώδει καὶ ἀνεμώδει τόπῳ· μὴ γὰρ ἐν ἡλίῳ, ἵνα μὴ ἡ ὑγρότης αὐτῶν ξηρανθῇ ὑπὸ τοῦ ἡλίου, καὶ ἀνενέργητα ποιήσῃ αὐτά. 97. αὖα δ᾽ ἐν ὄλπῃ. σκιόψυκτα δὲ καὶ ξηρὰ ὄντα θρύπτε ἐν ὄλπῃ, ἀντὶ τοῦ ἐν ληκύθῳ, καὶ οὕτως ἀλείφου αὐτὰ, ὅτε χρεία καλέσοι. 98. Εἴ γε μέν. Δύο ὄφεις συνουσιάζοντας κελεύει λαβόντα ἑψῆσαι. χύτρῳ δὲ, τῇ χύτρᾳ. συνουσιάζοντας δὲ, διότι ἐν τῷ καιρῷ τῆς συνουσίας βρομοῦσι· ἀποστρέφονται δὲ φύσει τὸν ἑαυτῶν βρόμον. Κνώδαλα κυρίως μὲν τὰ θαλάσσια, παρὰ τὸ κινεῖσθαι ἐν τῇ ἀλὶ, ὅ ἐστι θαλάσσῃ· καταχρηστικῶς δὲ νῦν τοὺς ὄφεις λέγει αἱμοῤῥοΐδας καὶ κεράστας. [Ὁ δὲ Ὀππιανὸς κνώδαλά φησι τὰ τῶν θηρίων γένη· ἐξ οὗ καὶ μνείαν ποιεῖται ὁ Νίκανδρος περὶ κνωδάλων, καὶ λέγει οἷον αἱμοῤῥοΐδας καὶ κεράστας καὶ τριχοφθόρους ἤτοι χοίρους. Μεμιγμένα δὲ ἤγουν συνουσιάζοντα, διότι ἐν τῷ καιρῷ τῆς συνουσίας βρωμοῦσι, καὶ ἀποστρέφονται τὸν ἑαυτῶν βρῶμον.] 102. δραχμάων. τὸ τρίτον μέρος τοῦ δεκάτου τῆς δραχμῆς· τὸ τρίτον δὲ τοῦ δεκάτου τριακοστόν ἐστι τοῦ ὅλου· ἢ τριπλάσιον τῆς δεκάδος, τουτέστι τριάκοντα δραχμάς· τρίφατον οὖν ἀντὶ τοῦ τρίλεκτον, οἷον τριπλῆν δεκάδα, τουτέστι τριάκοντα δραχμάς· ὁ χοῦς γὰρ δώδεκα κοτύλας ἔχει· τρίτον οὖν τῶν ιβ τέσσαρες κοτύλαι. 103. ἐν δὲ τρίτην μοῖραν. ἀντὶ τοῦ δ κοτύλας. ιβ γὰρ κοτυλῶν ἐστιν ὁ χοῦς· τοῦ δὲ ιβ τὸ τρίτον δ. [ἢ καὶ οὕτως, τῶν τριῶν ῥοδίνων τῷ πρώτῳ ὡς ἐξόχῳ φησὶ χρῆσθαι.] 104. πρώτην μεσσατίην. τρεῖς γὰρ ἀποστάσεις ποιεῖ τὸ ῥόδον, πρώτην, μέσην καὶ τελευταίαν, ἀντὶ τοῦ ἐν τρισὶν ἀγγείοις βάλλουσιν ἔλαιον· καὶ ἐν τῷ ἑνὶ ἐξ αὐτῶν βάλλουσι τὸ ῥόδον, καὶ ποιοῦσι τὴν πρώτην ἀπόστασιν τὴν ἐνεργεστέραν· καὶ ὅταν ἀποβραχῇ ἐν τῷ πρώτῳ ἀγγείῳ, καὶ ποιήσῃ τὴν πρώτην ἀπόστασιν, αἴρουσιν αὐτὸ

καὶ μεταβάλλουσιν αὐτὸ ἐν τῷ δευτέρῳ ἀγγείῳ, καὶ ὅταν βραχὺν ποιήσῃ τὴν δευτέραν ἀπόστασιν, μεταβάλλουσιν αὐτὸ ἐν τῷ τρίτῳ ἀγγείῳ· καὶ οὕτω τρεῖς ἀποστάσεις ποιεῖ. πολύτριπτον. Πολλὰ εἴδη ῥοδίνου, καὶ τὸ μὲν πρῶτον, τὸ δὲ μέσον, τὸ δὲ μικτὸν καλοῦσιν, ὅπερ πολύτριπτον εἶπε· τὸ μικτὸν δὴ ἢ τὸ ἔξοχον. 105. Ἰσόμορον λέγει τὸ ἴσον τοῦ ὀμφακίνου ἐλαίου, ἀντὶ τοῦ δ πάλιν κοτύλας. ἀργῆτος δὲ τοῦ λευκοῦ καὶ λαμπροῦ ἢ καθαροῦ, ἐξ ὠμῆς ἐλαίας γεγονότος. 106. Ἐν δὲ τῷ τετράμορον λείπει ὁ καὶ σύνδεσμος, ἵν' ᾖ, καὶ τετράμοιρον κηροῦ. Τῶν γὰρ τεσσάρων τὸ δ, κοτύλη μία ἐστί. 109. λάκτις δὲ ὁ λεγόμενος παρὰ τοῖς Ἀττικοῖς ἀλετρίβανος· νῦν δὲ λέγει τὴν τορύνην, τὸ κίνητρον. 107. Ἄκανθα δὲ κυρίως μὲν ἡ σπεῖρα τοῦ δράκοντος, νῦν δὲ λέγει τὸν δράκοντα. Ἄφελε οὖν, φησὶ, καὶ ἀποχώρισον τὰς φολίδας καὶ τὰ λεπίσματα· ἀπὸ κοινοῦ δὲ τὸ λίπαζε, ἀντὶ τοῦ χρῖσον. 114. Ὁ δὲ θρίναξ γεωργικόν τί ἐστι σκεῦος ἔχον τρεῖς ἐξοχὰς καὶ σκόλοπας ἀπωξυμμένους, ᾧ τοὺς ἀστάχυας τρίβουσι καὶ λικμῶσι καὶ ἀπαχυρίζουσι. 115. δακέεσσι δὲ τοῖς θηρίοις, νῦν δὲ ταῖς ἀσπίσιν. ἀφάρμακτον δὲ τὸ μὴ ἠλειμμένον. Εἰ τοίνυν οὕτω ταῖς ἀσπίσιν ἐντύχοις, ταχέως ἂν ταῖς ἡμετέραις προστάξεσιν ὑποχωρήσοις ἐξ αὐτῶν καὶ ἐκφύγοις τὰ δήγματα καὶ τὸν θάνατον τὸν ἐξ αὐτῶν. 118. Τῶν ἤτοι θήλεια. περὶ τῆς ἀσπίδος λέγει, ἣν καὶ διψάδα φησί· τῆς γὰρ θηλείας τὸ στόμα μεῖζον, καὶ πλατυτέρα ἡ κεφαλή. Τὸ δὲ παλίγκοτος οἷον ὀργίλη ἐστὶ τοῖς ἀπαντῶσι τῷ δήγματι πλειοτέρῃ καὶ κατὰ τὴν ἑλκομένην σειρὰν ἤγουν τὴν οὐράν. Δάχμα πανταχοῦ φησι Νίκανδρος, καὶ οὐ διὰ τοῦ ἦτα. πλειοτέρη, μείζων τῷ στόματι· στικτέον γὰρ εἰς τὸ ἀντομένοισι· κατὰ κοινοῦ δὲ τὸ πλειοτέρῃ, καὶ τῷ δήγματι πλειοτέρῃ. [Schol. B. καὶ

κατὰ τὴν ὁλκὴν καὶ κατὰ τὴν οὐρὰν πλειοτέρη. ὁλκὸν τὸ σῶμα ἢ τὴν οὐράν· σειρὴν δὲ τὴν πορείαν λέγει· βούλεται γὰρ σημαίνειν, ὅτι τὸ ἄκρον τῆς οὐρᾶς αὐτῆς παχύ ἐστιν.] Εἰ δὲ τὸ ὁλκαίην ὡς αἰτιατικὴν ἐπίθετον τῆς σειρᾶς ἐκλάβοις, σειρὰν νοήσεις αὐτὴν τὴν οὐράν. καὶ ἔσται οὕτως· πλειοτέρη κατὰ τὴν ὁλκαίην ἤγουν ἑλκομένην σειρὰν ἤγουν οὐράν. Τὸ δὲ τοὔνεκα ἢ ὅτι ἐπειδὴ τῷ στόματι μείζων, ἢ ὅτι ὀργίλη ἐστὶ τῷ δήγματι. 121. Ἀλλ' ἤτοι θέρεος. οἷον ἀρχομένου τοῦ θέρους πικρότατά εἰσι τὰ ἑρπετά. Τὸ δὲ ἐξαλέασθαι ἀπαρέμφατόν ἐστιν ἀντὶ προστακτικοῦ, ἤτοι ἐξάλυξον, ἔκφυγε. 123. ὁλκαίην ψαίρουσαι. αἵτινες ὑπὸ τὴν οὐρὰν ταύρου ἐγγίζουσαι καὶ ἁπτόμεναι, ἢ ψαίρουσαι ἀντὶ τοῦ κινούμεναι, ἢ μικρόταται ἐπιφέρονται. Λέγει δὲ ἐν ταῖς ἐπιτολαῖς τῶν Πλειάδων· τότε δὴ ἔκφυγε τὸ δῆγμα. Ὁλκαίην δὲ τὴν οὐρὰν λέγει, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ ὅλου σώματος. Γράφεται δὲ καὶ ἀλκαίη καταχρηστικῶς· κυρίως γὰρ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαίη καλεῖται, ὅτι δι' αὐτῆς ἑαυτὸν ἐποτρύνει καὶ ἐγείρει εἰς τὴν ἀλκήν. Σημείωσαι δὲ, ὅτι Ἄρατος μὲν ἡμιτελῆ φησιν εἶναι τὸν ταῦρον, οὗτος δὲ ὁλόκληρον. 125. γωλεὰ δὲ αἱ καταδύσεις, αἱ ἐν τοῖς κοίλοις τόποις γινόμεναι οὕτω καλοῦνται. 126. λίπτῃσιν. ἤτοι ὅταν ἐπιθυμίαν σχοίη νομοῦ, τουτέστι βοσκῆς, ἢ ὅτε ἀπὸ τῆς βοσκῆς κεκορεσμένη ἐπὶ τὸ κοιμηθῆναι πορεύηται. 128. Μὴ σύγ' ἐνὶ τριόδοισι. τύχοις κατὰ κοινοῦ. ὅτε τὸ δῆγμα τῆς ἀσπίδος φεύγεις, μὴ τύχοις τῷ ἔχιϊ τῷ ἐς φυγὴν ἐν τῇ συνουσίᾳ τραπέντι, δεδιότι τὴν θήλειαν. ἀναιρεῖ γὰρ τότε αὐτόν. 129. περκνὸς δὲ, ὅτι τοιοῦτος ὁ ἄρσην ἐστί. καὶ τὸ θύησι ἀντὶ τοῦ ὁρμᾷ ἤτοι φεύγει καὶ ἐκκλίνει τὴν τυπὴν τῆς τεφρώδους ἐχίδνης. ψολόεντα γάρ φησι τὸν πυρώδη καὶ τεφρώδη. Τὸ δὲ σχῆμα μετάλη-

ψις, ἀντὶ τοῦ ψολοέσσης ἐχίδνης. Δῆγμα δὲ καὶ τυπὴν ἐκ παραλλήλου τὸ αὐτό. 130. Τὸ δὲ θορνυμένου ἀντὶ τοῦ συνουσιαζομένου καὶ μιγνυμένου. θολερῷ δὲ οἱ μὲν τῷ μέλανι, οἱ δὲ τῷ σπορίμῳ· στόματι γὰρ συνέχονται αἱ ἔχιδναι. ἢ τῷ ὀλεθρίῳ. 131. θουρὰς ἡ ὁρμητικὴ πρὸς συνουσίαν. ὀδὰξ δὲ ἤγουν δακτικῶς καὶ τμητικῶς συμπλακεῖσα τῷ ἄῤῥενι. Γράφεται δὲ καὶ ἄμυξ, ἀντὶ τοῦ ἀμυκτικῶς καὶ καταξεστικῶς ἐμφῦσα τῷ ἄῤῥενι· οὕτω γὰρ συνουσιάζονται οἱ ἔχεις ταῖς ἐχίδναις· καὶ μετὰ τὸ συνουσιάσαι ἀναιρεῖ τὸν ἄῤῥενα ἡ θήλεια, τὴν κεφαλὴν ἀποκόπτουσα. τὰ δὲ ἔμβρυα πάλιν τικτόμενα τὴν γαστέρα τρώξαντα τῆς μητρὸς οὕτως ἐξέρχονται θανατοῦντα αὐτὴν, ὡσὰν τοῦ πατρὸς διεκδικοῦντα τὸν θάνατον. Μετεκίαθον δὲ ἀντὶ τοῦ μετῆλθον ἐπὶ τὴν λώβην τοῦ ἰδίου πατρὸς, καὶ ἐξεδίκησαν· ἀνταμύνουσι γὰρ τῷ πατρί. ἀναβρώσαντες δὲ ἤγουν ῥηγνύντες. 135. οἴη γάρ· μόνη γὰρ βαρύνεται ὑπὸ τῷ κυήματι τῆς γαστρὸς, ἐπειδὴ μόνη ἐγκύμων γίνεται, οἱ δὲ ἄλλοι πάντες ὄφεις ὠοτοκοῦσι. 137. ῥικνῆεν δὲ διεῤῥωγὸς, παλαιὸν ἢ τὸ ῥυσσὸν ἢ τὸ τρομερόν. ἀπὸ κοινοῦ δὲ τὸ μὴ σύγ' ἐνὶ τριόδοισι τύχοις. 139. ἢ ὁπότε σκαρθμούς· ἤγουν τὰς διατριβὰς, τοὺς τόπους, τὰ ἴχνη ἢ τὰς κινήσεις καὶ διώξεις. ἢ σκαρθμὸς ὁ διὰ τῶν ῥωθώνων ἀποσπασμὸς τῶν θηρίων· αὗται γὰρ ἐπισπῶνται τοῖς μυκτῆρσι τοὺς ὄφεις ἐκ τῶν καταδύσεων. Ὁ δὲ λόγος, καὶ ὁπότε τὸν ἐξελκυσμὸν τὸν διὰ τῶν μυκτήρων ἐκκλίνας ὁ ὄφις, καὶ φυγὼν καὶ πλήρης ὢν χολῆς ἐνερείσει καὶ προσπελάσει τὸ στόμα ἀνθρώπῳ τινὶ, διαφθείρει. Τοῦτο γὰρ ἐξακούεται. 141. κινωπησταῖς δὲ κοινῶς μὲν πᾶσι τοῖς ἑρπετοῖς, ἰδίως δὲ νῦν τοῖς ὄφεσιν. ὀργίζονται δὲ αὐτοῖς οἱ νεβροτόκοι καὶ ζόρκες, ἤγουν αὐτοὶ οἱ ἔλαφοι καὶ αἱ δορκάδες. 143. τρόχμαλα τοὺς τραχεῖς τόπους

καὶ πετρώδεις, ἢ τὰς τρίβους, ἢ τὰ ἴχνη, ἢ τὰ εἰκαῖα τῶν ἀγρῶν τειχία. Τὸ δὲ ἐρέοντες ἀντὶ τοῦ ζητοῦντες, διώκοντες καὶ ἰχνοσκοπούμενοι τοῖς μυκτῆρσι τὰς καταδύσεις. 145. Ὄθρυς ὄνομα ὄρους Θεσσαλίας, ὅπου ὁ σὴψ νέμεται· πλεονάζει δὲ ἐκεῖ τὸ θηρίον τοῦτο. 147. δίψιος δὲ ὁ ξηρὸς, διὰ τὸ μὴ παρ᾽ ὑδατώδεσι τόποις φαίνεσθαι, ἀλλ᾽ ὀρεινοῖς. ἢ ὁ ποιῶν διψᾷν τοὺς δακνομένους. φοινὰ δὲ δάκη τὰ φοινικὰ θηρία. 146. τρηχέες ἀγμοὶ, οἱ τραχεῖς καὶ πετρώδεις τόποι, παρὰ τὸ κατάγνυσθαι. λέπας δὲ ἀκρωτήριον. 148. ἀλλόφατον δὲ λέγεται, ὅτι μεταβάλλεται εἰς χρώματα πολλὰ, καὶ πρὸς ὅντινα ἐγγίσῃ τόπον, τούτῳ ἴσον τὸ χρῶμα αὐτοῦ τῷ τόπῳ μεταβάλλεται. Τὸ δὲ οἰαδὸν ἐπιῤῥηματικῶς εἴρηται· γίνεται γὰρ ἐκ τοῦ οἶος ὁ μόνος, οἰαδὸν, ὥσπερ ἐκ τοῦ μόνος μοναδόν. 149. Χειραμὰ τὰς καταδύσεις. λίθακας δὲ τοὺς τραχεῖς τόπους. ἕρμακας δὲ τοὺς ἑρμαίους καὶ λιθώδεις τόπους, ἢ λίθους σεσωρευμένους εἰς τιμὴν τοῦ Ἑρμοῦ. τρηχεῖς δὲ οἱ ὀρεινοί· πικρότατοι γάρ εἰσι διὰ τὸ πυρῶδες τοῦ δήγματος· ἔμπυροι δὲ οἱ χαλεπώτατοι καὶ φλέγοντες τοῖς ἀλγήμασι τοὺς πληγέντας. 152. μεταμώνιον· οὐ μάταιον, ἀλλὰ δεινὸν, ἐπικίνδυνον. 153. ἄλλος δ᾽ αὖ κόχλοισι· τοῖς κόχλοις τῆς γῆς τὴν δομὴν ἤγουν τὸ σῶμα ἀφομοιοῦνται· τῆς γῆς δὲ κόχλοις εἶπεν, ἐπεὶ καὶ θαλάσσιοί εἰσιν. [κόχλοισι δὲ τοῖς καλουμένοις κόχλασι τὸ ὅλον σῶμα ὁμοιοῦται τὴν χροιάν· δομὴν δὲ τὸ σῶμα· ἀλινδόμενον δὲ κυλιόμενον.] Ἡ δὲ λεπὶς γράφεται ἔν τισι λοφίς· εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν ἰχθύων. Ὁ δὲ λόγος, ἄλλου δὲ ὄφεως ἐγχλωρίζουσα ἡ λεπὶς τὴν ἐπὶ μῆκος τεινομένην σπεῖραν ποικίλην ποιεῖ. Τὸ δὲ σπείρῃ λεπρύνονται ἀντὶ τοῦ ἢ τραχύνονται ἢ λευκαίνονται· ἀφ᾽ οὗ καὶ ἡ ἐν τοῖς σώμασι παρὰ φύσιν λευκότης καλεῖται λέπρα. Ὁ δὲ λόγος, πολλοὶ

δὲ διατρίβοντες ἐν τῇ ἄμμῳ λευκαίνονται τὴν σπεῖραν, ἀλινδόμενοι καὶ κυλιόμενοι ταῖς ἄμμοις. Ἄμαθος δὲ ἡ χερσαία κόνις. Ὅμηρος δὲ διαστέλλει· οὐδ᾽ εἴ μοι δοίη ὅσα ψάμαθός τε κόνις τε. Ἀπὸ δὲ τούτου γενόμενος ὁ Νίκανδρος ποιεῖται τὴν τῶν ζώων ἐξαρίθμησιν, καὶ τὰ ἰδιώματα τῶν πληγῶν, καὶ τὰ συμβαίνοντα πάθη τοῖς ὑπὸ τῶν ἑρπετῶν πληγεῖσιν, ἀρξάμενος ἀπὸ τῆς ἀσπίδος.

157. Φράζεο δ᾽ αὐαλέαις. τὴν φρίσσουσαν ταῖς καταξήροις φολίσι φονευτικὴν ἀσπίδα, τὸ χαλεπώτατον τῶν ἄλλων θηρίων σκέπτου. 158. ἀμυδρότατον δάκος· ἀσθενὲς, παρόσον ἀσθενοποιός ἐστιν ἡ πληγή. Ἄλλως. τὸ ἀμυδρὸν ὁτὲ μὲν ἀσθενὲς, ὁτὲ δὲ καὶ εὐκίνητον καὶ χαλεπόν. Δημήτριος δέ φησιν εἰρῆσθαι ἀμυδρότατον δάκος τὴν ἀσπίδα, καθ᾽ ὅσον οὐκ ἄγριόν ἐστι καὶ ὀξὺ τὸ ζῶον, ἀλλὰ μόνον τῇ φύσει χαλεπόν. Δύναται δὲ κατ᾽ ἀμφότερα μὲν λέγεσθαι, χαλεπὴ μὲν διὰ τὸ ἀνίατον, ἀμυδρὰ δὲ διὰ τὸ νῶκαρ, ὃ καὶ χωρὶς ἀλγημάτων ἀναιρεῖ. Ἄλλως. ἀμυδρὸν νῦν τὸ χαλεπὸν λέγει, ὡς καὶ Ἀρχίλοχος· ἀμυδρῶν χοιράδων ἐξαλεύμενον. Εὕρηται δὲ παρ᾽ αὐτῷ Νικάνδρῳ καὶ ἀντὶ τοῦ εὐκινήτου, ὡς ἐπὶ τῆς ἴκτιδος· καὶ παρὰ τῷ αὐτῷ ἐπὶ τοῦ χαλεποῦ· καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει. 159. κέλευθον ὁμῶς. ἐναντίον γὰρ τῷ κεράστῃ· ὁ μὲν γὰρ πλαγίως βαδίζει, ἡ δὲ τοὐναντίον. Ἡ σύνταξις δέ· ταύτης μὲν γὰρ ἡ ὁδὸς κατεναντίον, οἱονεὶ κατ᾽ εὐθεῖαν καὶ ὀρθῶς γίνεται τῷ μακρῷ διασπασμῷ καὶ ἑλιγμῷ τῆς γαστρὸς κατὰ τὴν ὁλκαίην ἀτραπὸν, οἱονεὶ τὴν ἐπιμήκη ὁδόν· δολιχῷ δὲ μηρύγματι γαστρὸς οἱονεὶ τῷ ὁλκῷ ἢ τῷ βαδίσματι καὶ ἐπισπασμῷ, ἀπὸ τοῦ μηρύεσθαι. Ἀκατάλληλα δὲ εἰσὶ τὰ ἔπη· ἔδει γὰρ οὕτως ἀναγινώσκεσθαι· φράζεο δῆτα ἀσπίδα φοινήεσσαν· εἶτα ἢ καὶ σμερδαλέον μὲν, εἶτα νωχελὲς ἐξ ὁλκοῖο·

εἶτα αἰὲν ἐπιλλίζουσα, εἶτα τῇ μὲν γάρ τε κέλευθος, εἶτα ἀτραπὸν ὁλκαίην. 161. σμερδαλέον· φοβερὸν μὲν καὶ καταπληκτικὸν ἔχει ἀπὸ τῆς ὄψεως, ἄλλως δὲ ἐν τῇ πορείᾳ καὶ τῷ ἑλκυσμῷ τοῦ σώματος νωχελής ἐστι καὶ ὑπνώδης· τὸ γὰρ ὑπνηλοῖς ἐπιλλίζειν ὄσσοις τοῦτο δηλοῖ, ὅτι συνεχῶς τοῖς ὄμμασιν ἐπινεύουσα φαίνεται. 165. ἀθρήσῃ· αἴσθησις ἀντὶ αἰσθήσεως, ὡς ἐπὶ τῷ ὁρᾷς οἷα λέγεις. Νωθρὸν δὲ τὸν νωθῆ, καὶ νωθείαν ἐμπαιοῦντα, καὶ ἀργίαν. 166. ὁλκῷ· τῷ δὲ ὁλκῷ τοῦ σώματος τροχώδη καὶ κυκλοτερῆ ἀλωνίαν εἱλίξατο ἐν τῇ γῇ. Ἄλωνα δὲ εἶπεν, ἐπεὶ καὶ αὗται αἱ ἀλωνίαι τροχοειδεῖς καὶ κυκλοτερεῖς εἰσι τῷ σχήματι τῷ τυπουμένῳ, τῷ ἑλιγμῷ τῆς ἀσπίδος. Ἅλων δὲ λέγεται μὲν καὶ ὁ δίσκος τοῦ ἡλίου καὶ τῆς σελήνης, κυρίως δὲ ἡ περὶ τὸν ἥλιον καὶ τὴν σελήνην γινομένη πολλάκις νέφωσις· ἔτι δὲ καὶ ὁ τόπος, ἐν ᾧ ἁλοοῦσι· νῦν δὲ τὴν σπεῖραν καὶ τὸ σῶμα τῆς ἀσπίδος, μᾶλλον δὲ τὴν ἐκ τοῦ ἑλιγμοῦ αὐτῆς γινομένην περιφέρειαν. 170. αἰγανέα δὲ τὸ ἀκόντιον ἀπὸ μέρους τοῦ αἰγείου ἱμάντος, ὃν ἐξαγκυλούμενοι βάλλουσι. Λέγει δὲ τοῦ μεναύλου· εἴρηται δὲ παρὰ τὸ ἄγαν νεῖσθαι. 169. ὀργυιῇ δὲ μετρητὸν ἀντὶ τοῦ ἴσον καὶ μεμετρημένον ὀργυιᾷ. Τὸν δὲ εἰς ἐνοπὴν ταύρων στίχον τινὲς ἀθετοῦσιν, ὡς μὴ Νικάνδρου εἶναι. 172. χροιὴ δ' ἄλλοτε μέν. Τὸ δὲ χρῶμα τοῦ γένους τῶν ἀσπίδων τινῶν μὲν ψαφαρὸν, ὅ ἐστι λευκὸν ἢ αὐχμηρὸν, τινῶν δὲ μειλινόεν, τουτέστι χλωρὸν καὶ μήλινον καὶ ποικίλον καὶ ὠχρόν· τινῶν δὲ τεφρῶδες καὶ σποδῶδες, ἢ καὶ τῇ ἰλύϊ τοῦ Νείλου ἐμφερές. 174. αἰθαλόεσσα δὲ ἤτοι πυρώδης καὶ λαμπρά· ἢ ξανθὴ καὶ ὁμοίως τῷ βώλῳ τῶν Αἰθιόπων μελαινομένη. 175. οἵην τε πολύστονος. ἐπεὶ μετὰ στόνου καὶ ἤχου ῥέει ὁ Νεῖλος· στένειν γὰρ τὸ ἠχεῖν· καὶ Ὅμηρος· ὑπεστονάχιζε δὲ γαῖα λαῶν ἱζόντων. Εὕρηται δὲ καὶ π ο λ ύ σ τ ο μ ο ς, ἐπειδὴ ἑπτάστο-

μος ὁ Νεῖλός ἐστι κατὰ τὸν περιηγητὴν Διονύσιον. 176. πλησάμενος δὲ ἤγουν ἑαυτὸν ἐμπλήσας καὶ πληρώσας. ἄσιν δὲ τὸν ῥύπον· φησὶ γοῦν, οἷον ῥύπον κατέχεε καὶ κατήγαγεν ὁ Νεῖλος ἑαυτὸν πληρώσας. 177. δοιοί· τουτέστι περὶ τὰς ὀφρῦς ὑπεράνω τοῦ μετώπου δύο ὑπερφαίνουσι καὶ ἐξέχουσιν οἷα τύλοι, οὐ κέρατα δὲ, ἀλλὰ τύλοι καὶ σαρκία τινά. Ἄλλως. Ὑπὲρ τοὺς ὀφθαλμοὺς κατὰ τὸν τῶν ὀφρύων τόπον ἐξοχαί τινές εἰσι τύλοις ἐοικυῖαι περὶ τὴν ἀσπίδα, δι' ἃς ἔγκοιλον αὐτῆς φαίνεται τὸ ὄμμα. 179. καὶ ὁ αὐχὴν δὲ ἐμπίπραται φυσῶντος τοῦ θηρίου. Τὸ δὲ ποιφύζειν πολλαχῶς λέγεται· καί ποτε μὲν ἐπὶ τοῦ ἐκφοβεῖν, ὡς Σώφρων ἐν Μίμοις· παιδικὰς ποιφύξεις· ποτὲ δὲ ἐπὶ τοῦ πνεῖν, ὡς Εὐφορίων· ζεφύρου μέγα ποιφύξαντος. Μεταπλασμῷ δὲ πάλιν κέχρηται ἀντὶ τοῦ ποιφυζούσης ἀσπίδος εἰπὼν ποιφύσσοντος, ὡς ὁ αὐτὸς ἐν ἄλλῳ τόπῳ ψολόεντος ἐχίδνης εἶπε. 179. πολλὸν ὑπὸ σπείρης· ἀντὶ τοῦ ἐντὸς τῆς σπείρης. ψαφαρὸς δὲ οἷον αὐχμηρὸς ὀγκοῦται ὁ αὐχήν· τοῦτο γὰρ σημαίνει τὸ ἀναπίμπλαται· ἔτι ἄκριτα ἀντὶ τοῦ μεγάλα, ἄτακτα. Τὸ δὲ ποιφύσσοντος ἓν μέρος λόγου ἐστὶν ἀντὶ τοῦ φυσῶντος. Τὸ δὲ ὁδίταις γράφεται καὶ ὁδούροις, ἤγουν ὁδοιπόροις. 181. ἄϊδα δὲ προσμάξηται ἀντὶ τοῦ προςπελάσῃ καὶ ἐμβάλῃ αὐτοῖς θάνατον, ἄγαν ὀργίλως θυμουμένη. 183. δολιχήρεες δὲ ἤτοι μακροὶ ἢ πρὸς μῆκος ἐῤῥιζωμένοι, δι' οὗ σημαίνει τὸ σὺν μήκει ἰσχυρόν. 184. μύχατος δὲ χιτών· ὑποκάτω γὰρ τῆς γλώσσης τῆς ἀσπίδος χιτών ἐστιν, ὃς καλύπτει τοὺς ὀδόντας αὐτῆς, καὶ ὑποκάτω τοῦ χιτῶνος ὁ ἰὸς ἔγκειται. Ὑμενώδης δέ ἐστι χιτὼν καὶ τετρημένος, πρὸς τὸ εἰςδέχεσθαι διὰ τῶν τρήσεων τὴν τροφὴν αὐτῆς. [Ἡ χιτών ἐστι λέπασμα, ὃς δὴ χιτὼν καλύπτει τοὺς ὀδόντας αὐτῆς.] 187. οὔτε δυσαλθές. οὔτε δυσίατον οἴδημα ἐπιφλεγμαίνε-

ται. 188. καμάτου δ' ἄτερ. χωρὶς δὲ ὀδύνης ἀπόλλυται ὁ ἀνήρ· ὑπνηλὸν δὲ νῶκαρ ἐπάγει αὐτοῖς τὴν τελευτὴν τοῦ βίου. Νῶκαρ δὲ ὁ κάρος· νῶκαρ γὰρ λέγεται ὁ ὕπνος, οἷον νοῦ κάρωσις.

190. Τὸ δὲ ἰχνεύμων εἶδος ἀετοῦ, ἱερὸς Ἡρακλέους, ὡς Αἰγύπτιοι· ἀκήριος δὲ ἤγουν ἄνευ κηρὸς καὶ θανάτου· καὶ γὰρ μόνος ὁ ἰχνεύμων ἄνευ θανάτου τὴν ὁρμὴν τῆς ἀσπίδος ἐκφεύγει καὶ ἐκκλίνει. [τοῦτο γὰρ τὸ ἀλεύεται σημαίνει.] 191. Ἡ μὲν ὅτ' ἐς· καὶ ὅταν εἰς μάχην συνέρχηται ὁ ἰχνεύμων μετὰ τῆς ἀσπίδος, ἐκφεύγει τὸν θάνατον αὐτῆς, καὶ ὅτε θαλπούσης αὐτῆς τὰ ὠὰ, πάντα λαβὼν διεσκόρπισε καὶ ἐξ ὑμένων ἐτίναξε κατεσθίων. 192. Καὶ τὸ κηριτρόφου δὲ ἤγουν θανατοφόρου, ἢ διὰ τὸ αὐτὰ τὰ τέκνα θάνατον εἶναι τοῖς ἀνθρώποις, ἢ διὰ τὸν ἰὸν, ὃν τρέφει. 194. συνεῤῥαθάγησε, κατέαξε, συνέθλασε, συνέτριψε· ῥάθαγος γὰρ κυρίως ὁ τῆς κώπης λέγεται ψόφος ὑπὸ τῶν κυμάτων κλωμένης ἢ τῇ χέρσῳ προσρηγνυμένης. [Schol. B. συνεῤῥαθάγησε. Ῥάθαγός ἐστιν ὁ κτύπος ὁ γινόμενος ὑπὸ τῶν κυμάτων, κλωμένων αὐτῶν καὶ προσρηγνυμένων ἐν ταῖς πέτραις.] ἀπὸ μεταφορᾶς οὖν τοῦ κτύπου τούτου εἶπε τὸ συνεῤῥαθάγησεν, διὰ τὸ καὶ ἐν τῷ τρώγειν κτύπον ἀποτελεῖσθαι ὑπὸ τῶν ὀδόντων. 195. κινωπέτου δὲ θηρίου τοῦ ἐν τῷ πέδῳ κινουμένου εὐκινήτως· ἀμυδρῆς δὲ ἤτοι μικρᾶς ἢ τῆς δεινῆς καὶ ὀργίλου. 196. Ἴκτις δὲ ἡ λεγομένη ἀγρία γαλῆ· καὶ Ὅμηρος· Κρατὶ δ' ἐπ' ἰκτιδέην· ὡς ἀπὸ τῆς ἴκτιδος τοῦ ζώου. 199. Τιθαιβώσσουσι. κυρίως ἐπὶ μελισσῶν τοῦτο εἴρηται, παρὰ τὸ τὴν βόσιν τιθέναι, ἀλλὰ κατεχρήσατο ἐνταῦθα τὸ τὰ μικρὰ τρέφειν, παρὰ τὸ τυτθὸν βώσσειν καὶ τρέφειν. 200. ἰάμνους τὰς εἰαμενάς· θρυόεντας δὲ τὰς θρυώδεις. Θρύον δὲ εἶδος βοτάνης· ὡς τό· ἡμὲν

θρύον ἠδὲ κύπειρον. 201. εἰλικοέσσαις· ἑλικοέσσαις, ἤτοι σπειρώδεσιν ἢ ἐπιμήκεσι. 202. ποταμόνδε. ὁ ἰχνεύμων κώλοις ἤτοι τοῖς ποσὶν ἔτυψεν, ἔπληξε. 203. τάρταρον δὲ τὸν βυθὸν ἐνθάδε εἴρηκε θηλυκῶς· καὶ ἰλυόεσσαν δὲ τὴν ἰλυώδη καὶ βορβορώδη. 206. λιχμήρεος δὲ τουτέστι τοῦ προβάλλοντος τὴν γλῶσσαν ἐν τῷ λιχμάζειν, ὅ ἐστι λείχειν. προβάλλουσι γὰρ καὶ οἱ ὄφεις τὰς γλώσσας μέλλοντες λείχειν. 208. βρυόεντος. βρυόεντα λέγει τὸν θρυώδη καὶ βοτανώδη τόπον. καὶ γὰρ τὸ βρύον βοτάνη ἐστὶν, ἧς τὸ φύλλον ἔοικε πράσῳ. 210. πολυδερκέα τὴν κατὰ πολλοὺς τρόπους ὁρωμένην κατὰ τὸν πολύποδα, ἢ, ὡς ἔν τισιν εὕρηται, πολυδεύκεα, δηλαδὴ πικράν. 212. ἤτοι ἀν' Εὐρώπην. οὐχ ὅμοιά φησι τὰ ἑρπετὰ τῶν δύο γαιῶν· αἱ γὰρ διάφοροι γαῖαι διαφορὰν τῶν ἑρπετῶν ἔχουσι. 213. κεραοί· οὐκ ἔχουσι κέρατα, ἀλλὰ ἐξοχὰς ὑπὲρ τοὺς ῥώθωνας ἔχουσι. ἀργίλιπες δὲ ἤγουν ἔκλευκοι. ὡς Ἀρχίλοχος· ἀργιλιπὴς δὲ φάσις. 214. Οἱ μὲν ὑπὸ Σκείρωνος. Σκείρων μὲν ὄρος μεταξὺ Μεγαρέων καὶ Κορινθίων κείμενον, ὅπερ τινὲς Σκειρωνίδα πέτραν καλοῦσι. Παμβώνια δὲ ὄρη τῆς Μεγαρικῆς, ὡς αὐτὸς ἐν τῷ τρίτῳ τῶν Θηβαϊκῶν φησι· τείχεά τε προλιπόντες ὑπὲρ Παμβωνίδας ὄχθας, ἑσσύμενοι Μεγαρῆες ἐνευνάσσαντο δόμοισι. 215. Ῥύπαιον δὲ Ἀντίγονος μὲν τῆς Ἀχαΐδος φησὶν εἶναι, ἐπεὶ Ῥύπαιοι οἱ Ἀχαιοὶ ὠνομάσθησαν. Ἔστι δὲ τῆς Αἰτωλίας, ὡς Νίκανδρος περί τινων εἰς Αἰτωλίαν ἐρχομένων διηγούμενος· δι' αἰπεινήν τε κολώνην Οἰωνοῦ Ῥύπης τε πάγον καὶ Ὀνθίδα λίμνην Σχείοντο Ναύπακτον, ἐς Ἀμφιδύμην τε πέλαξον. Τὸ δὲ Ἀσέληνον Λοκρικὸν ὄρος ἐστὶ δυσχείμερον. Ταῦτα οὖν πάντα ὀνόματα εἰσὶν ὀρῶν τῆς Εὐρώπης. Πάλιν δὲ Βουκάρτερος καὶ Αἰγαγέης καὶ Κέρκαφος ὀνόματά εἰσιν ὀρῶν τῆς Ἀσίας.

219. Τῶν ἤτοι βρεχμοὶ μέν. Τὸ μὲν βρέχμα, ὅ ἐστι τὸ κρανίον, πλατύ ἐστιν. ὑπὲρ δὲ τὸ ἄκρον μῆκος ἢ τὸ ἄκρον σῶμα· ὁλκαῖον γὰρ τὸ μῆκος καὶ τὸ σῶμα· ἡ σπεῖρα κολοβὴν οὐρὰν ἑλίσσεται, τουτέστι τὸ τούτων μῆκος οὐκ ἔστιν ἐκτεταμένον. Ἡ δὲ ὑπὲρ πρόθεσις ἀντὶ τῆς περὶ, ἵν' ᾖ, ὅτι περὶ τὸ ἄκρον σῶμα ἡ σπεῖρα κολοβὴν ἑλίσσει οὐράν. Τὸ γὰρ ἑλίσσεται ἀντὶ τοῦ ἑλίσσει καὶ συνέχει. Ἢ ὅτι περὶ τὸ ἄκρον ἕλκυσμα τῆς σπείρας τουτέστι τοῦ σώματος κολοβὴν ἔχει τὴν οὐρὰν ἡ θήλεια. 223. Πᾶς δέ τοι. Εἰπὼν ὅτι ἡ θήλεια πλατὺ ἔχει τὸ βρέγμα, τὸν ἄρσενα ὀξυκέφαλόν φησι. Ἐν τούτῳ δὲ τὸν αὐτὸν ἄρσενα καὶ θήλειαν. 224. ἀκιδνότερος. ὥστε ἄνωθεν μείζονα καὶ ἐπισημότερον καὶ τὸν μέγαν καὶ τὸν ἥσσονα, ἀπὸ δὲ τῆς κοιλίας ἀκιδνότερον· καταστρέφει δὲ εἰς τὸ ἀκιδνότερον, τουτέστιν εἰς τὸ ἀσθενέστερον καὶ οὐχ ὅμοιον τοῖς ἄνω μέρεσι. 226. πεδανὴ δὲ ἀσθενής· ὁμοίως δὲ καὶ φολίδα μικροτέραν καὶ ἀσημοτέραν ὑποβεβηκυῖαν ἔχει. Ἴσως μὲν πεδανή· ἐξ ἴσου δὲ καὶ ἴσως ταπεινὴ ὑπὸ τοῖς πέρασι τοῦ δολιχοῦ ὁλκοῦ. ἴσως ἀντὶ τοῦ ὁμοίως, ἐξ ἴσου τῇ γαστρί. ὁλκαίη μύουρος ὑποτετάνυσται, τουτέστιν ὀλίγη ἢ διεσχισμένη. Ἴσως μὲν πεδανή· τὸ ἐπάνω τῆς οὐρᾶς μέρος πολλὰς λαμπρὰς ἔχει φολίδας, τὸ δὲ ὑποκάτω τῆς οὐρᾶς οὐχ οὕτως ἔχει. πεδανὴ, ταπεινή· νῦν δὲ μακρὰ καὶ κατ' ὀλίγον στενουμένη ἡ οὐρά. τετριμμένη, ἰσχνὴ, κατεξηραμμένη ἢ πεπυκνωμένη. 228. γλήνεα δὲ φοινίσσει ἤγουν αἱματώδεις ἔχει τοὺς ὀφθαλμούς. τὸ δὲ τεθοωμένος ἀντὶ τοῦ παρωξυμμένος, τεταραγμένος. ὀξὺ δὲ δικρῇ· διστόμῳ· δύο γὰρ τμήματα ὡς γλῶτται. 229. σκωλύπτεται· σκολιῶς κινεῖται, ἢ τραχύνεται, ἅπτεται. [Schol. B. γράφεται σκωλύνεται, εἰλιγμένην γὰρ ἔχει καὶ σκολιὰν καὶ οὐκ εὐθεῖαν τὴν οὐράν.] 230. Κυ-

κυτόν. καὶ οὗτος ὁ στίχος, ὡς ὑποβολιμαῖος, ἀθετεῖται. 231. κυνόδοντε δύω. δύο μόνοι εἰσὶν ἰοβόλοι τῶν ἀῤῥένων ὀδόντες, πολλοὶ δὲ τῶν θηλειῶν. 233. οὔλῳ· ὅλῳ ἢ ὀλεθρίῳ καὶ ὀλοῷ. Εὐκόλως δὲ ἐν τῇ σαρκὶ ἴδοις ἂν εὐρυνθέντας ἤγουν χωρογραφηθέντας καὶ εὐρέας γινομένους τοὺς ὀδόντας· χαλινοὺς γὰρ ἐνταῦθα τοὺς ὀδόντας φησί. 237. Γράφεται πολλάκι μὲν κλώθουσα, ἀντὶ τοῦ χλωρά. Μεταπεποίηται δὲ ἐκ τοῦ Νουμηνίου, ὅς φησιν οὕτως· ὑπόχλωρον μὲν ἕλκος κυκλαίνει, τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν ἕλκος. Διογενιανὸς δὲ χλοάειν, καλῶς αὔξεσθαι καὶ βλαστάνειν. Θέων δὲ ἐν ὑπομνήματι κλώθουσα, ἀντὶ τοῦ οἰδοῦσα. Κατὰ πλέον δὲ τίθεται τὸ κλώθειν ἐπὶ τῆς αὐξήσεως. 240. τῶς εἴτε, ἀντὶ τοῦ ὡς εἴτε πομφόλυγες χαμηλαὶ ἢ θαμιναὶ ἐν πυρὶ ζέοντος ὕδατος γίνονται, οὕτως πλαδόωσι, φησὶ, καὶ ἐν τῷ σώματι τοῦ δηχθέντος. ἀραιαὶ δὲ ἀντὶ τοῦ κεναί· οὐδὲν γὰρ ἔχουσι. Πλαδόωσι· κυρίως τὸ μὴ ἀντίτυπον πλαδόειν καλεῖται· πλαδόωσιν ἀντὶ τοῦ ὑγραὶ γίνονται, ἢ οἰδοῦσι καὶ πλατύνονται· ὅθεν καὶ πλαδερὸν σῶμα τὸ ὑγρόν φαμεν, ὅπερ πιλούμενον τῷ δακτύλῳ ἐνδίδωσιν, [Schol. B. ἢ κοιλαίνεται, πάλιν δὲ εὐθέως ἀναδίδωσι καὶ γεμίζει τὸ κοίλωμα.] 246. κίονά τε. τὸν τράχηλόν φησιν· ἐπειδὴ τρόπον κίονος ὑποβαστάζει τὴν κεφαλήν· οἱ δὲ τὸν γαργαρεῶνα· οἱ δὲ τὴν λεγομένην κιονίδα, οἱ δὲ τὴν σταφυλήν. Κίων δὲ, διὰ τὸ κεῖσθαι ἀπὸ τοῦ κάτω μέρους τοῦ στομάχου μέχρι τοῦ ἄνω. 247. εἰλίγγοις, συστροφαῖς, ὅτι καροῦται ὁ πλησσόμενος. αἶψα δὲ γυίοις· ἀντὶ τοῦ εὐθέως τοῖς μέλεσι καὶ τῇ ὀσφύϊ ἡ ἀδρανία βαρύνουσα αὐτὰ, μέρμερος ἤγουν φροντίς τις ἵζει καὶ γίνεται. Τοῦτο γὰρ νῦν σημαίνει τὸ ἵζει. 249. σκοτόεν δὲ βάρος εἶπεν, ἐπειδὴ καροῦται ὁ πλησσόμενος ὑπὸ τῆς ἐχίδνης. 252. ζαλόωσα δὲ χωνίζουσα,

συστρέφουσα χειμερινὸν, ὥςπερ κρύος ζαλόεν πέριξ βέβριθεν, ἀντὶ τοῦ ῥίγει συνέχεται χαλεπωτάτῳ ὁ δηχθείς. 253. χολόεντας. ἤγουν χολὴν ἀπήμεσε. Τὸ οὖν χολόεντας ὄγκους περίφρασίς ἐστιν ἀντὶ τοῦ χολώδη ἀπεμεῖ· τὸ γὰρ ἀπήρυγε τὸ ἀπήμεσε σημαίνει. 254. νοτέων δὲ ἀντὶ τοῦ ὑγραινόμενος ὁ ἱδρὼς περὶ τοῖς μέλεσι ψυχρότερος τῆς τοῦ νιφετοῦ βολῆς περιχεῖται. 256. ζοφοειδέος. ζοφοειδῆ τὸν σκοτεινὸν ἢ τὸν ὠχρόν. 257. ἄνθεσι δὲ χαλκοῦ, ἀντὶ τοῦ χάλκάνθῳ, ἣν νεωστί φασι καλακάνθην. Ἄνθος δέ ἐστι χαλκοῦ τι γένος γινόμενον, ἐν οἷς ὁ χαλκὸς χωνευόμενος καθίεται, πελιδνόν τε καὶ μᾶλλον ἔχον ἔγκιῤῥον τὴν πελιδνότητα, μικρὸν δὲ καὶ στρογγύλον καὶ παραπλήσιον τῷ σπέρματι τοῦ νάπυος· καὶ ἴσως τούτου μέμνηται νῦν ὁ Νίκανδρος. Γράφεται δὲ καὶ ἄνθεσι χάλκης. οὕτως καὶ παρὰ Νουμηνίῳ· ἄνθεσσί γε μὲν εἴδετ' ἐπ' ἰχὼρ ἠερόεις· τοτὲ δ' αὖ μολίβῳ ἐναλίγκιον εἶδος ἀμφί ἑ κυδαίνει χάλκῃ ἴσον. Ἔστι δὲ χάλκη ἄνθος, ἀφ' οὗ καὶ τὴν πορφύραν ὠνόμασαν. Τὸ δὲ ἐμφερὲς ὅμοιον τῷ ἐν τῇ Ἡρακλείᾳ· φολὶς δ' ἀπέλαμπε φαεινὴ ἄλλοτε μὲν κυανοῦ, τοτὲ δ' ἄνθεσιν εἴσατο χαλκοῦ. 258. δολόεντα δὲ εἶπε τὸν κεράστην, ἐπεὶ ἐν τοῖς ἁμαξιτοῖς κρύπτων ἑαυτὸν ἀναιρεῖ τὸν τυχόντα. 260. Ἤτοι ὁ μὲν κόλος ἐστίν. ἀντὶ τοῦ κολοβὸς τοῖς κέρασι, τουτέστι μὴ ἔχων κέρατα· ὁ γὰρ ἔχις οὐκ ἔχει κέρατα· κόλος οὖν ἤτοι ὁ ἀκέρατος ἔχις, ἢ τῷ μήκει ἐλάσσων ἐστίν· εἰσὶ γὰρ κεράσται ἀκέραστοι, οἳ καὶ κόλοι λέγονται. 261. πισύρεσσι δὲ, ἐπεί εἰσι καὶ τετρακέρατοι κεράσται καὶ δικέρατοι. 263. ἁμαιροχιῇσιν, ἀντὶ τοῦ ἁρματροχιαῖς, κατὰ συγκοπὴν διὰ τὸ μέτρον. Λέγει δὲ τὰς ἐγχαράξεις τοῦ τροχοῦ, τὰς γινομένας εἰς τὴν γῆν· ἐν αὐταῖς γὰρ κοιμᾶται ὁ κεράστης. Τὸ δ' ἐνδυκὲς αὔει ἀντὶ τοῦ ἐπιμελῶς καὶ συν-

εχῶς κοιμᾶται, ἢ διάγει. Ἐξενήνεκται δὲ χωρὶς τοῦ ι· ἔστι δὲ τὸ πλῆρες ἰαύει. 264. Τὸ δὲ θοὸς ἀντία θύνει ὁ ἔχις ἀντὶ τοῦ τρέχει ὀρθῶς καὶ συντόμως τῷ μηρύγματι, ἤγουν τῷ ἐπισπασμῷ ἢ τῷ βαδισμῷ τῆς γαστρός. 266. αὐτὰρ ὅγε. Ὁ δὲ κεράστης πλάγιος ἐπικυλίεται τῷ σώματι. τετρηχότι δὲ ἢ δασεῖ ἢ τραχεῖ· διὸ καὶ ἠχεῖ ἡ πορεία αὐτοῦ. 268. τράμπιος ὁλκαίης. ἤτοι τῆς ἐπισπωμένης. πολλῆς ἐμφάσεως ἡ παραβολὴ γέμει καὶ σεμνότητος κατὰ τὴν συνθήκην. Τράμπις δέ ἐστι βαρβαρικὸν πλοῖον. καταχρηστικῶς δὲ εἶπεν. Ὁ γὰρ νοῦς οὗτος· τοῦ πλοίου τοῦ ὁλκὴν ποιοῦντος ἴσος ἐν τῷ καμάτῳ ἢ ἐν τῷ βαδίσματι· ὥσπερ γάρ, φησί, τὸ πλοῖον τῇ βίᾳ τοῦ ἀνέμου ἀποκρούεται ἔξω τῆς εὐθείας ὁδοῦ, καὶ πλάγιον τουτέστιν ἐπίπλευρον φέρεται, οὕτω καὶ ὁ κεράστης ἐπίπλευρος φέρεται, ἤτοι ἐπίπλευρος ἕρπει. Ἐὰν μὲν ῇ ἀκάτῳ, ἐκ δισσοῦ κεῖται ἡ λέξις· ἐὰν δὲ καμάτῳ, ὅπερ ἄμεινον, ἀντὶ τῷ πλῷ. 270. Τὸ δὲ ἀπόκρουστος ἤτοι πλαγιαζομένη ἢ ἀποκρουομένη ἢ κλυζομένη τῇ πνοῇ τοῦ Λιβός· ἢ ἀπόκρουστος ὡσανεὶ ἀπόβλητος καὶ οἷον ἀποβαλλομένη καὶ ἀποπεμπομένη τῆς εὐθείας ὁδοῦ. 272. ἥλῳ ἐειδόμενον. ἧλος σκλήρωμά ἐστι περὶ τὰ πέλματα τῶν ποδῶν γινόμενον στρογγύλον, καὶ τοῖς τῶν ἥλων κεφαλίοις παρόμοιον, ὃ ἐπιδημίως καρφίον φασί. [Margo Goett. γράφεται καὶ πέλει.] 273. φλύκταιναι. αἱ φλυκτίδες περὶ τὸ δῆγμα μικραὶ ἐπανίστανται, ἄγνωστοι κατὰ τὴν πρόσοψιν, πέμφυξι δὲ ταῖς φύσαις, ταῖς ἐν τῷ ὕδατι γινομέναις πομφόλυξιν. 275. ἤτοι ἀφαυρότερον· δηλαδὴ ἀνεπαισθήτως ἀλγοῦσιν οἱ δηχθέντες, ἢ ἀσθενέστερον, καὶ σύντονον ἐπάγει. ἐννέα δ' αὐγάς· ἤγουν πρὸς ἐννέα ἡμέρας ζῶσι μόνον οἱ δηχθέντες ὑπὸ κεράστου. 276. Τὸ δὲ οἷσιν ἀντὶ τοῦ ᾧτινι· ἀπὸ γὰρ ἑνικοῦ μετῆλθεν εἰς πληθυντικόν, δέον εἰπεῖν, ᾧ τε κεράστης.

278. ἀσκελὲς δὲ ἤτοι ἀδιαλείπτως, ἢ σκληρῶς, ἢ ἴσον ἐν τοῖς δύο βουβῶσι. 281. μόγις γε μέν. Τὸ μόγις νοητέον ἀντὶ τοῦ σπανίως. Εὕρηται δὲ καὶ πολεῖς, ἵν᾽ ᾖ, πολλοὶ ἐξέφυγον τὴν μοῖραν, δηλαδὴ ἔζησαν.

284. ὑπάρπεζον. Αἰτωλοὶ τὸν ὕπτιον καὶ λεῖον ὑπάρπεζον φασί. τρηχὼ δὲ οἱ μὲν αἱμασιάν φασιν, οἱ δὲ τὸν προάντη καὶ τραχὺν τόπον, οἱ δὲ λίθον. 286. μήκη μέν. τὸ μῆκος, φησὶν, αὐτοῦ ποδιαῖόν ἐστιν· ὁ δὲ ποὺς δίμοιρον πήχεως. ἐπὶ τὸ εὖρος, φησὶ, τέθρυπται, ἤγουν τέθλιπται, δηλαδὴ λεπτός ἐστιν ὅλος. Ὁ δὲ λόγος· ἀπὸ τῆς κεφαλῆς μέχρις οὐρᾶς τεθρυμμένος ἢ τεθλιμμένος καὶ λεπτός ἐστι. 288. ψολόεις, ἀντὶ τοῦ καυστικὸς, ἤγουν πεπυρακτωμένος, διὰ τὴν ἐκ τῆς ἀλγηδόνος πύρωσιν· εἴωθε γὰρ τοῖς δηχθεῖσιν ἐπακολουθεῖν· ἢ διὰ τὸ διαπύρους ἔχειν τοὺς ὀφθαλμοὺς, ἢ διὰ τὸ κεκινημένον εἶναι καὶ τραχὺ τὸ δῆγμα. Σημαίνει δὲ ἡ λέξις τρία· ἔστι γὰρ ψόλον τὸ μέλαν, τὸ σποδοειδὲς, τὸ λαμπρόν. Εὐφορίων· ἢ Αἴτνην ψολόεσσαν, ἐναύλιον Ἀστεροπαίου. καὶ ἔτι· Λιγνὺν δὲ ψολόεσσαν αἰδνήεντά τε καπνόν. Καὶ Αἰσχύλος ἐν Βασσαρίσι· σκάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ. 289. πεδανή· πεδανὴ δὲ λέγεται ἡ λεπτὴ οὐρὰ καὶ συνεστραμμένη. Ὀξύλος δὲ ἱστορεῖ, ὅτι καὶ κέρατα ἔχει. αἰθὸς δὲ ἤτοι κεκαυμένος, ἢ σποδώδης, ἢ διάπυρος, ἢ αἰθαλώδης. 289. Καὶ τὸ ἐσφήκωται ἀντὶ τοῦ συνῆπται, πέπλεκται, ἔσφιγκται. 290. κατομφάλιος δὲ ἤγουν ἀπὸ τοῦ ὀμφαλοῦ στενή ἐστιν ἡ οὐρά. 291. ὑπὲρ νιφόεντα. τῷ γὰρ ψύχει φονεύοντα. Ἐν δὲ τῇ συντάξει ὁ στίχος οὗτος μετὰ τὸν ἀπ᾽ αὐτοῦ συμπέπλεκται, καὶ ἔστιν ἡ σύνταξις οὕτως· τοῦ μὲν ὑπὲρ νιφόεντα φάη κεράατα δοια μετώπῳ ἔγκειται, τουτέστι τούτου μὲν ὑπὲρ τὰ κρυμώδη ὄμματα, ἤγουν ὑπεράνω αὐτῶν, κέρατα δύο ἐν τῷ μετώπῳ

ἔγκειται. Κατὰ δὲ τὰς λογάδας ἤγουν τὰ λευκὰ τῶν ὀφθαλμῶν προσεικὴς καὶ ὅμοιός ἐστι ταῖς πάρνοψιν, ἤγουν ταῖς ἀκρίσιν, ἢ ἀττελάβοις. Νιφόεντα δὲ τὰ ψυχρὰ λέγει· κοινῶς δὲ πάντα τὰ ἑρπετὰ ψυχρά. 293. λαμυρὸν δὲ, ἤγουν λαβρὸν ἢ ταραχῶδες ἢ εὐκίνητον. 294. δοχμὰ δ' ἐπισκάζων, ἤγουν πλάγιος πορεύεται προβάλλων τὴν κοιλίαν, καὶ ταῖς φολίσιν ὑποτρίβων τὴν γῆν. 295. βαιὸν δὲ πλόον νῦν τὴν ὁδὸν τὴν πεζὴν, τὴν πορείαν, καὶ Ἀντίμαχος εἶπε· τοῖσι δ' ἂν ὑλήεντα διὰ πλόον ἐρχομένοισιν. ὡς δὲ καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην παράγει τινὰ ἐρῶντα αὐτῆς, ἢ καὶ ἐρεθίζουσα φησὶ πρὸς αὐτόν· ἀπέπλεις τεὸν ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι σήμερον. 296. φολίσι δὲ καὶ οἴμῳ. τῇ βαδίσει. Γράφεται δὲ καὶ ὁλκῷ, ἵν' ᾖ τῷ σώματι. 297. ὑποψοφέων. μεταφορικῶς, ἠρέμα ἕρπει προσπταίων· τούτου δὲ τετράχυται τῇ φολίδι ἡ γαστήρ· καὶ παρασύρων προστρίβεται τῇ γῇ, καὶ ὑποψοφεῖ, οἷα χύσιν καλάμης διέρπων, τουτέστιν ὡς εἰς καλάμους βαδίζων. 300. γαστὴρ δ' ὑδατόεσσα· ἀντὶ τοῦ πολλὰ ὕδατα πίνει ὁ δηχθεὶς, ἡ δὲ ὑδατώδης αὐτοῦ γαστὴρ σκαίρει καὶ πηδᾷ. τοῦτο γὰρ τὸ πιδύεται. Κυρίως δὲ τὸ πίνειν, ἐξ οὗ καὶ πίδαξ ἡ πηγή. 302. πεφορυγμένον, ὅ ἐστιν ἀναμεμιγμένον καὶ συγκεκραμένον τῷ χολώδει ἰῷ. 303. αἱ δ' ὑπὸ γυίοις. αἱ δὲ ὑπὸ τοῖς μέλεσιν ὠτειλαὶ ῥήγνυνται· ἔφθη γὰρ εἰπὼν, ὅτι ὅλον τὸ σῶμα πελιδνοῦται, ἤγουν ὠτειλῶν πληροῦται· ὠτειλαὶ δὲ αἱ πληγαί εἰσι. Καὶ Ἀπολλώνιος δέ φησι τῶν πληγέντων ὑπὸ τῆς αἱμοῤῥοΐδος ῥήγνυσθαι καὶ τὰς οὐλάς. 306. πίμπραται, τουτέστιν ὑποκαίεται καὶ πυροῦται τὰ οὖλα, ὡς ἐπὶ πεπέρεως ἢ σινάπεως, ἤγουν πυρακτοῦνται καὶ ἀναβράζουσιν. 307. ἀσταγὲς δὲ ἤτοι ἄστακτον ἢ μὴ στάζον, ἀλλὰ κρουνηδὸν φερό-

μενον, οἱονεὶ πολυσταγές. 308. μυδῶντες δὲ ἤτοι δυσώδεις, δίυγροι τῇ σήψει τῶν οὔλων καὶ τοῦ αἵματος· ἢ ὄζοντες, [καὶ δυσῶδες πνέοντες.] 309. Εἴγ' ἔτυμον· τὸ ἑξῆς, τῶν δ' Ἑλένη μέσον ὁλκὸν ἀνέκλασεν· εἶτα, εἴγ' ἔτυμον Τροίηθεν ἰοῦσα. Ἰστέον δὲ, ὅτι ἀπὸ Τροίας ἀναστρέφων ὁ Μενέλαος σὺν τῇ Ἑλένῃ ἐπλανήθη, καὶ ἦλθεν εἰς Αἴγυπτον· ὁ γοῦν κυβερνήτης αὐτοῦ Κάνωβος ἐξελθὼν κοιμηθῆναι ἐν τῷ αἰγιαλῷ ἄκων ἐπιπέπτωκεν αἱμοῤῥοΐδι, ἥτις θλιφθεῖσα ὑπ' αὐτοῦ τὸν αὐχένα καὶ ὀδυνηθεῖσα ἐξελθοῦσα ἔδακεν αὐτόν. Θνήσκοντα οὖν ὑπ' αὐτῆς τὸν κυβερνήτην θεωρήσασα ἡ Ἑλένη καὶ ὀργισθεῖσα τῇ αἱμοῤῥοΐδι, ἔκλασε τὴν ἄκανθαν αὐτῆς, καὶ ἐξέβαλε τοὺς τῆς ῥάχεως αὐτῆς σπονδύλους· καὶ ἔκτοτε αἱ αἱμοῤῥοΐδες καὶ οἱ σκολιοὶ καὶ οἱ πλάγιοι κατὰ τὴν πορείαν κεράσται κεκλασμένοι εἰσὶ τὰς ῥάχεις. Καὶ ἡ μὲν ἱστορία οὕτως. Τὸ δὲ ἐχαλέψατο ἀντὶ τοῦ ὠργίσθη τῶν αἱμοῤῥοΐδων τῷ γένει. 310. πολύστροιβον, τουτέστι πολλὰ ῥεύματα καὶ ἴλιγγας ἔχοντα καὶ ἀπειροπληθῆ καὶ ἀπλήρωτα καὶ πολλὰ ῥεύματα· καὶ γὰρ ἡ τῶν ὑδάτων συστροφὴ στροῖβος λέγεται. 313. Θώνιος. Θῶνις βασιλεὺς Αἰγύπτου τότε ἦν· ἀπὸ τούτου οὖν Θώνιον τὴν αἱμοῤῥοΐδα ἔφη, διὰ τὸ ἐν Αἰγύπτῳ εἶναι. 316. ὁλκὸν, ἤγουν τὸ σῶμα. ἀκάνθου δὲ δεσμὰ ἤγουν αὐτὴν τῆς αἱμοῤῥοΐδος τὴν ἄκανθαν, [δηλαδὴ τὸ λεγόμενον κοινῶς κέντρον,] ἔκλασεν ἡ Ἑλένη χαλεπήνασα τοῖς ἑρπετοῖς, διὰ τὸ τὸν κυβερνήτην, καθὼς εἴρηται, ἀπολωλέναι. 317. Τὸ δὲ ῥάχις ἐξέδραμε γυίων, ἀντὶ τοῦ ἐξῆλθον οἱ σπόνδυλοι τῆς ῥάχεως. Σημείωσαι δὲ, ὅτι ἀπὸ τοῦ θηλυκοῦ τῆς αἱμοῤῥοΐδος εἰς ἀρσενικὸν μετήγαγε τὸν λόγον.

320. ἀλλ' ὁ μὲν εἴδει. καὶ γὰρ τῇ μὲν ὄψει τῷ αἱμοῤῥόῳ ὁμοία ἐστὶ, τῇ δὲ πορείᾳ διαλλάττει, παρ' ὅσον ἀντίον

πορεύεται, καὶ οὐ σκολιῶς, καθάπερ ἐκεῖνός τε καὶ οἱ κεράσται. Σηπεδὼν δὲ εἴρηται, ὅτι σήπει τῶν δηχθέντων τὰ σώματα. 322. ἔμπλην ἄμμορον. παρὰ Ἀρχιλόχῳ ἔμπλην ἀντὶ τοῦ χωρὶς, οἷον ἔμπλην ἐμοῦ τε καὶ ἐφόλου· παρὰ δὲ τῷ ποιητῇ ἀντὶ τοῦ πλησίον· Βοιωτῶν ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο· ἐνταῦθα δὲ ἐπὶ τοῦ χωρὶς ταχτέον· οὐ γὰρ τῷ ἐναντίον πορεύεσθαι διαλλάττει ἐκείνων μόνον, ἀλλὰ καὶ τῷ κέρατα μὴ ἔχειν, τῶν προειρημένων ἐχόντων. κεράων δέμας. τὸ οὖν σῶμα αὐτοῦ, φησὶν, ἄμμορον τῶν κεράτων ἐστίν. ἐκ παραλλήλου δὲ λαμβάνεται τό τε ἔμπλην καὶ τὸ ἄμοιρον. 322. ἡ δέ νυ χροιῇ ἀσαφῶς· τοῦ γὰρ τῆς δάπιδος χρώματος μὴ ὡρισμένου, ὁμοιοῖ αὐτῇ τὴν σηπεδόνα κατὰ τὴν χροιάν· εἰ μὴ ἄρα κατὰ τὸ πλεῖστον κόκκιναι γίνονται. Λέγοι δ' ἂν περὶ τῆς δασείας δάπιδος, οὐ περὶ τῆς ψιλῆς, ἵνα ἅμα καὶ τὸ δασὺ αὐτοῦ [τοῦ σηπεδόνος Schol. B.] σημαίνῃ. 324. κράατι· καὶ τοῦ μετρίου μείζονα μὲν τὴν κεφαλὴν φορεῖ, ἀποδέουσαν δὲ τοῦ λοιποῦ σώματος. 325. σκολιὴν γάρ· γράφει τὸ ἄκρον τῆς οὐρᾶς ἔχει μακρὸν, καὶ σκολιὸν ἀνατέταται, ὡς συγκλέπτεσθαι τὸ μῆκος. 329. ὡς γήρεια. γήρεια λέγεται ἡ τῶν κινάρων ἐξάνθησις· ἀκανθώδης δέ ἐστι. Τῶν οὖν δηχθέντων, φησὶν, ὑπὸ σηπεδόνος αἱ τρίχες ἀποῤῥέουσιν ἐκπίπτουσαι ἴσα κινάρων ἀκάνθαις καὶ ἐξανθήσεσι. τὸ δὲ καταψηχθέντος ἀντὶ τοῦ καταψηχθείσης καὶ ἀποτιναχθείσης. Κέχρηται δὲ τούτῳ τῷ σχήματι πολλαχῶς. Θεόφραστος δὲ ἀρσενικῶς εἶπε τὸν ἄκανθον. 332. ἀλφοὶ δὲ καὶ λεῦκαι καὶ ἔφηλις εἴδη εἰσὶ νόσων. Ἡ μὲν οὖν ἔφηλίς ἐστιν ἡ ἐπὶ τοῦ σώματος γινομένη σπίνη· ἀλφοὶ δὲ καὶ λεῦκαι ἐφήλιδός εἰσιν εἰς παρασκευήν· ἡ δὲ ἔφηλις ἑτεροίωσίς ἐστιν ἐπιφανείας. 334. Ναὶ μὴν διψάδος. εἶδός τι καὶ τὴν διψάδα φησὶν ὄφεων, ἣν

καὶ κεντρίνην καλοῦσιν, ἐπεὶ εἰς ὀξὺ τὴν ὄψιν ἀπὸ ὀλίγου μέρους ἔχει κατηγμένην, ὡς δοκεῖν κέντρον εἶναι· ἔχει δὲ πλατὺν τὸν τράχηλον καὶ τὴν οὐρὰν κατακόρως μέλαιναν. 336. οἷσιν ἐνισκίμψῃ· ἢ ἐμπέσῃ· γράφεται καὶ ἐνιχρίμψῃ, ἢ ἐμβάλῃ. βλοσυρὸν δὲ τὸ καταπληκτικὸν θηρίον. 338. ἀμφὶ δὲ καύσῳ· γράφεται καὶ καῦσος· καὶ καῦσος ἐπέρχεται καὶ εἴωθεν ἐπακολουθεῖν τοῖς ὑπὸ διψάδος πληγεῖσιν· ὥστε χανδὸν ἀντὶ τοῦ πολὺ καὶ ἀθρόον ἢ κεχηνότως ἀπὸ τοῦ ποταμοῦ πίνειν ὕδωρ· καὶ ὁ ποιητής· ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ. Πολλῆς δὲ ἐμφάσεως καὶ σεμνότητος γέμει ὁ λόγος· φησὶ γὰρ, ὅτι πληγείς τις καὶ δηχθεὶς ὑπὸ τῆς διψάδος ἴσα ταύρῳ διψῶντι καὶ ἀθρόως ἐν ποταμῷ πίνοντι προσέοικεν, ἐπὶ τοσοῦτον δὲ πίνει διψῶν, ἕως διαῤῥαγείη τὴν γαστέρα ὑπὲρ μέτρον πλησθείς. 343. Ὠγύγιος. βούλεται ἀπὸ μύθου δεῖξαι, εἶναι ἀργὰς τὰς διψάδας ἐν τῇ πορείᾳ, καί φησιν, οἱ ἄνθρωποί ποτε παρεκάλεσαν τοὺς θεοὺς δοθῆναι αὐτοῖς νεότητα, πρὸς τὸ μηδέποτε γηρᾷν αὐτούς· λαβόντες οὖν ἐπέθηκαν ὄνῳ βαστάζειν· ὁ δὲ δίψει συνεχόμενος ἦλθεν εἴς τινα τόπον ὕδωρ ἔχοντα, ἐν ᾧ ὄφις ὑπῆρχε φυλάττων· καὶ δὴ, φησὶ, βουλόμενον πιεῖν τὸν ὄνον ὁ ὄφις ἐκώλυσε φήσας, ὅτι, ἂν δῷς μοι ἅπερ βαστάζεις, συγχωρῶ πιεῖν. Ὁ δὲ ὄνος ὑπὸ τῆς δίψης συνεχόμενος δέδωκεν αὐτῷ ἃ ἐβάσταζε, τουτέστι τὴν νεότητα· ἀφ' οὗ χρόνου οἱ μὲν ὄφεις ἀποβάλλουσι τὸ γῆρας, οἱ δὲ ἄνθρωποι ὑπὸ τοῦ γήρως καταπονοῦνται. Ὁ γοῦν ὄφις δεξάμενος ἀπὸ τοῦ ὄνου τὸ δῶρον τῶν θεῶν ἀργότερος ὑπάρχει περὶ τὴν πορείαν, καὶ τὸ δῆγμα· ἀνέλαβε δὲ καὶ τὴν τοῦ ὄνου δίψαν· ὅθεν καὶ τοῖς δακνομένοις ὑπ' αὐτοῦ δίψαν ἐμποιεῖ. Ἄλλοι δὲ οὕτω τὸν μῦθον φασί. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ

καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνου· τὸν δὲ δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὄφις, καὶ τοῦ ποτοῦ ὀρεγόμενος ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν, ἀποδυομένους τὸ γῆρας, τὸν δὲ ὄφιν τὸν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος· ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖν δίψαν. Ἔστι δὲ ὁ μῦθος ἱστορικὸς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. Ὠγύγιος δὲ ἀπὸ Ὠγύγου τινὸς, τουτέστιν ἀρχαῖος καὶ παλαιός. 347. ἔνιπτον δὲ ἀντὶ τοῦ διεβάλλοντο, ἐλοιδόρουν τῷ Προμηθεῖ, ὅτι μὴ ἀεὶ αὐτοὺς νέους ἐποίησεν εἶναι. 348. ἄφρονες. οἱ ἄνθρωποι ὀκνηροὶ ὄντες ὄνῳ τὰ ἀναγκαιότατα ἐπέθηκαν· ἐβλάβησαν δὲ ὑπὸ τῆς ἀβουλίας· κακοφραδία γὰρ ἡ ἀβουλία. Τὸ δὲ οὐκ ἀπόναντο ταὐτόν ἐστι τῷ ἐβλάβησαν. 349. Τὸ ἀμορβεύοντο δὲ ἀντὶ τοῦ διηκονοῦντο, ἐθεραπεύοντο, ἐφέροντο ἐπὶ ὄνων, διὰ τὸ ὀκνηρὸν αὐτῶν. Ἀμορβεύειν γὰρ τὸ ἀκολουθεῖν καὶ ὑπηρετεῖν. Νίκανδρος ἐν ἑτέρῳ· Βουκαῖοι ζεύγεσσιν ἀμορβεύουσιν ὀρήων· καὶ Καλλίμαχος· Οὕνεκ' οὐ Λητοΐδῃ πέμπεν ἀμορβούς. Τὸ δὲ ἑξῆς, τῷ λεπάργῳ τὰ δῶρα δόντες ἠκολούθουν· δῶρα δὲ τὴν νεότητα. Λεπάργῳ δὲ τῷ ὄνῳ φασὶ, παρὰ τὸ τὴν λαγόνα ἔχειν λευκήν· τῷ οὖν νωθεῖ λεπάργῳ ἤγουν ὄνῳ ἠμορβεύοντο ἤγουν ὑπηρετοῦντο ὑπ' αὐτοῦ. 354. ἤτεεν ἄφρονα. τὸν ὄνον φησὶν ἐκ τοιαύτης περιπετείας. δῶρον δὲ τὴν νεότητα, ἣν ἐπ' ὄνῳ ἔφερον, μὴ δυνάμενοι αὐτὴν βαστάσαι διὰ τὸ ὀκνηρόν. 355. γηραιὸν δὲ φλόον τὸ σύφαρ λέγει, διὰ δὴ τὸν προειρημένον λόγον, τὰ μὲν ἑρπετὰ τὸ γῆρας ἀποβάλλει, καὶ ἀεὶ σχεδὸν ἐν νεότητι διατελεῖ, οἱ δ' ἄνθρωποι γηρῶντες φθείρονται. 357. νοῦσον δ' ἀργαλέην. τὴν δίψαν

φησὶν, ἢ τὸ νωθὲς καὶ βραδὺ τοῦ ὄνου τοῦ βρωμήτορος, ἤγουν τοῦ ὀγκηστικοῦ, παρὰ τὸ βρωμᾶσθαι.

359. Νῦν δ' ἄγε χερσύδροιο. Ὁ χέρσυδρος ὕδρος πρότερον καλούμενος, ὕστερον δὲ διὰ τὸ ἀνταλλάξασθαι τὰς ἐν τῇ χέρσῳ διατριβὰς χέρσυδρος ἐκλήθη. 360. ἰσαίας δὲ τὰς ὁμοίας, καὶ ὅτι κατὰ μέγεθος ἴσαι εἰσὶν ὅ, τε χέρσυδρος καὶ ἡ ἀσπίς. σήμαθ' ὁμαρτεῖ· σημεῖα, φησὶ, χαλεπὰ τοῖς δηχθεῖσιν ἀπολουθεῖ, ἅπερ ἐν τοῖς ἑξῆς καταλέγει. Πᾶσα γὰρ, φησὶν, ἡ περὶ τὴν σάρκα ῥινὸς, τουτέστιν ἡ δορὰ, μυσαχθὴς οὖσα καὶ δυσώδης ἀναδιδομένη καὶ ἄνω ἁπλουμένη· τοῦτο γὰρ τὸ πιτναμένη. 362. μυδόεν τεκμήρατο, τουτέστι δίυγρον ἐποίησε τὸ δῆγμα καὶ σεσηπός. Μυσαχθὴς οὖν ἤτοι δυσαχθὴς ἢ μυσαρὰ ἢ καὶ δυσώδης. Πιτναμένη δὲ ἀντὶ τοῦ ἐκτεινομένη ἢ ἐξαπλουμένη, ἢ ῥηγνυμένη, καὶ ἐκ τούτου ἀλγήματα πολλὰ ἔχουσα. 363. φλιδόωσα δὲ διεῤῥωγυῖα. νειόθι δὲ ἀντὶ τοῦ κάτωθεν, ἀπὸ τῶν ἐνδοτέρω μερῶν· ἐκ δὲ τούτων ἀλγηδόνες πολλαὶ τοῖς ἀνθρώποις ἐγγίνονται. 366. βροχθώδεϊ δὲ ἤγουν ἀνύδρῳ, ἢ ξηρᾷ, ἢ κοίλῃ, ἢ ὀλίγον ὕδωρ ἐχούσῃ· ὅθεν καὶ βρόχθος τὸ ὀλίγον πόμα. 367. ἄσπειστον. ἄσπειστον τὸ χαλεπὸν καὶ ἄσπονδον καὶ ἄστοργον, παρὰ τὸ μὴ σπείσασθαι φιλίαν πρὸς ἀλλήλους. 368. σείριος. ἕως ἂν ξηραίνῃ ὁ ἥλιος. Ἐν δὲ τῷ τρύγῃ δ' ἐνὶ πυθμένι λείπει τὸ μίμνῃ, ἵν' ᾖ, ὅταν ἡ τρύγη μίμνῃ ἐν τῷ πυθμένι τῆς λίμνης, καὶ γίνηται ἀντὶ τοῦ τρύγη τουτέστι ξηρασία τῆς λίμνης. 371. Τὸ δὲ ποιφύγδην ἀντὶ τοῦ ἐνθουσιαστικῶς ἢ ἐμφυσητικῶς καὶ μεθ' ὁρμῆς ἐκφοβῶν· τότε γὰρ καὶ τὴν γλῶσσαν προβάλλει ὁ χέρσυδρος. Ἔχουσι δὲ δύο γλώττας οἱ χέρσυδροι, οὓς Ἀριστείδης λίχνους εἶναί φησιν. ὄγμους δὲ ἤγουν ὁδοὺς ἢ τὰς

ἐγχαράξεις τῆς γῆς. [Γράφεται ἀγμοὺς ἀντὶ τοῦ αἰγιαλούς. Schol. B.]

372. Τὸν δὲ μέτ' ἀμφίσβαιναν. Ἡ ἀμφίσβαινα ὄφις ἐστὶ μικρὰ καὶ νωχελὴς, ἐξ ἑκατέρου μέρους ἔχουσα κεφαλὰς, ἀμβλυωποῦσα δὲ διὰ τὴν παχύτητα τῶν γενείων· κατὰ δὲ τὴν χροιὰν γεώδης ἐστὶ, μακραῖς ποικιλλομένη στιγμαῖς. Τοῦτον δὲ τὸν ὄφιν οἱ παρατυχόντες ὑλοτόμοι, ἐπὰν κτείνωσι, τὴν δορὰν περιτιθέντες βακτηρίᾳ ξηραίνουσι, καὶ πρός γε τοὺς κόπους καὶ τὰς ἐκ ψύχους νάρκας ἔχουσι βοήθημα. ἀμφικάρηνον δὲ τὴν ἀμφοτέρωθεν κεφαλὰς ἔχουσαν. καὶ ὀλίζονα ἀντὶ τοῦ μικροφυῆ, μικρὰν, βραδεῖαν. 374. ἀμβλὺ δὲ, οὐκ ὀξὺ, ἀλλ' ἀμβλὺ, οἷον στρογγυλοειδὲς καὶ ἀμβλυωπητικὸν ἐξ ἑκατέρας τῆς κεφαλῆς. γένειον δὲ ἀντὶ τοῦ ἡ γένυς, ἡ σιαγών. 375. Τὸ δὲ χροιὴ ἠΰτε γαίης, ἀντὶ τοῦ γεώδης ἐστὶ κατὰ τὸ χρῶμα. 376. περίστιγες. ἐὰν μὲν ἔχῃ οὕτω περιστιγὲς, σημαίνοι ἂν τὸ ποικίλον· ἐὰν δὲ, ὡς ἔνιοι γράφουσι, περίστιβες, εἴη ἂν ἀντὶ πεπιλημένον, ἀπὸ τοῦ πατεῖσθαι. Ἀπὸ τούτου δὲ καὶ στιβεὺς ὁ κναφεὺς καλεῖται. διὰ δὲ τοῦ πεπιλημένου δηλοῦται τὸ στερεόδερμον τοῦ θηρός. 377. βατῆρα δὲ τὴν βακτηρίαν, κατὰ ἀφαίρεσιν τοῦ κ. Καὶ Ἡρώδης ἐν ἡμιάμβοις ἐν τῷ περιγραφομένῳ ὕπνῳ· φύγωμεν ἐκ προσώπου, μή σ' ἐκπερῶν πρέσβυς οὐλῇ κατ' εὐθὺ βατηρίῃ καλύψῃ. Ἡ δὲ σύνταξις οὕτως· κόψαντες ῥάδικα πολυστεφέος κοτίνου οἷά τινα βακτηρίαν, ἤγουν τοσοῦτον τῷ μήκει τὸν ῥάδικα εἶναι, ὅσον βακτηρίαν, ἐξήραναν τὸ δέρμα αὐτῆς. Φασὶ δέ τινες οἷον βοτῆρα ἢ ποιμενικὴν ῥάβδον, μεθ' ἧς βόσκουσι. Δημήτριος δὲ ὁ Χλωρὸς βοτῆρα γράφει τὴν βακτηρίαν, ἐπεὶ τὰ βοτὰ ἐλαύνει. Ἀντίγονος δὲ βατῆρά φησι. Τὴν ἀμφίσβαιναν δέ φασιν ἐκδείραντες καὶ περιτιθέντες τὸ δέρμα

αὐτῆς τῇ ῥάβδῳ, ὅταν ἐξέρχωνται ἐπὶ ἔργον, ἐν ἐκείνῳ διατρίβουσι τὰς χεῖρας, καὶ θερμαίνονται. Φασὶ δὲ μήτε ξύλῳ μήτε ἑτέρῳ τινὶ ἀναιρεῖσθαι τὸ ζῶον, εἰ μὴ ἀμπέλῳ· καὶ αὐτὸς δὲ ὁ Νίκανδρος ἐν τοῖς Ὀφιακοῖς φησι Διόνυσον ἐμμανῆ γενόμενον ὑπὸ τῆς Ἥρας ὑπνῶσαι· τὴν δ᾽ ἀμφίςβαιναν πεδῆσαι αὐτοῦ τὰ σκέλη· τὸν δ᾽ ἀναστάντα καὶ πλήξαντα τῷ κλήματι αὐτὴν ἀποκτεῖναι· ὅθεν ἔτι καὶ νῦν κλήματι τελευτᾷ. 380. πρόσθε βοῆς· πρὸ τοῦ ἔαρος, ἤγουν ἐν τῷ χειμῶνι, πρὶν κόκκυγα ἐπιφανῆναι ἢ τὸν τέττιγα. ἐαρτέρου δὲ τοῦ ἐαρινοῦ· τέθεικε γὰρ τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. 382. μάλκαι. τὴν μάλκην φησὶ Νίκανδρος ἐν γλώσσαις ῥῖγος περὶ τοὺς πόδας καὶ χεῖρας, καὶ ὑποδήματα τίθησι· πνεύματος ἀργαλέοιο πόνοιό τε μαλκείοντες. Δημήτριος δὲ τὸν ὑπὸ τοῦ ῥίγους διασπασμόν. Ἡμῖν δ᾽ ἀρέσκει νῦν μάλκαι νάρκαι, δι᾽ οὗ τὸ ψύχος σημαίνει· καὶ γὰρ αὐτὸς ὁ Νίκανδρος ὁτὲ μὲν ἐπὶ ψύχους ὁτὲ δὲ ἐπὶ τοῦ ναρκᾷν κέχρηται. Καὶ ἐπὶ μὲν ψύχους ἐν τῇ Σικελίᾳ οὕτως· ὄμβρῳ τε κρυμῷ τε δέματ᾽, ὅτε δάμνατο μᾶλλον· ἐπὶ δὲ τοῦ ναρκᾷν μόνον ἐν τοῖς Κιμμερίοις χρῆται. Ἄλλως. Μάλκαι αἱ μαλακίαι καὶ δυσκινησίαι, διὰ τὴν τοῦ κρύους ὑπερβολήν· οἱ δὲ μάλκας τὰ χίμετλα, ἤγουν τὰς ῥήξεις τῶν χειρῶν καὶ τῶν ποδῶν. 383. ξανάᾳ. ἤγουν θερμαίνει καὶ διαλύει. τὸ δέρμα οὖν, φησὶ, τῆς ἀμφισβαίνης ἐπιτήδειόν ἐστι ξηραίνειν καὶ διαλύειν καὶ ἀποτείνειν τὰ δεσμὰ καὶ τὰς δυσκινησίας τῶν νεύρων. ξανάᾳ. Τὰ δεσμὰ τῶν δακτύλων τῶν γυναικῶν τεταμένα γίνονται διὰ τὸ ψύχος. ξανάᾳ. Τὰ ἐκ τοῦ ξαίνειν γινόμενα ταῖς γυναιξὶ πάθη ἐν χειμῶνι ξάναα λέγεται, ὅταν τὰ ἄκρα τῶν δακτύλων δυσκίνητα ἔχωσιν αἱ γυναῖκες. Ἐπιτήδειον γάρ φησι τὸ τῆς ἀμφισβαίνης δέρμα εἰς τάσιν τῆς δυσκινησίας.

386. σμινύοιο. σιδηρεόν τι, κατὰ μὲν τὸ ἕτερον δικέλλης ὀδόντι παραπλήσιον, κατὰ δὲ τὸ ἄλλο ἀξίνης, ᾧ σκάπτουσι καὶ ξύλα κλῶσιν. Τῆς δὲ ἀμφισβαίνης φησὶ τὸ σῶμα λεπτὸν ὡς ἕλμινθος· καὶ γὰρ ἡ ἕλμινς λεπτή ἐστιν, ἢ παρείκασε τὰ λεγόμενα γῆς ἔντερα. 389. ῥωγάδα· κεχαραγμένην, τουτέστι τὸν φωλεόν· οὐ γὰρ αὕτη ἡ σκυτάλη γεύεται μαράθου, ὡς οἱ ἄλλοι, ὅταν, φησὶν, ὑπὸ τοῦ ἡλίου τὸν περὶ τὰ μέλη φλοῦν ἀποβάλλῃ, τουτέστι τὸ γῆρας· τὰ γὰρ ἄλλα ἑρπετὰ παραυτίκα ἐξιόντα ἐκ τῶν φωλεῶν ὁρμᾷ ἐπὶ τὴν μάραθον, διὰ τὸ ἀμβλυωπεῖν, ἧς ἀποτρώγοντα ὀξυδερκέστερα γίνεται καὶ ὀξυωπέστερα, καθ' ὃν καιρὸν καὶ τὸν φλοῦν ἀποβάλλει, παρατριβόμενα κατὰ τὴν ἔξοδον ἐν ταῖς χειαῖς. 393. ἀλλ' ἤγ' ἀρπέζαις. ἄρπεζα τὸ κάτω καὶ ἔσχατον τοῦ ὄρους, ἤγουν ἡ πέζα τοῦ ὄρους, οἱονεὶ ὀρόπεζα. νεμέεσσι δὲ τοῖς πρὸς νομὴν ἐπιτηδείοις. 394. ἀπ' εἰκαίης δὲ γῆς, τουτέστιν ἀπὸ τῆς εὐτελοῦς καὶ τῆς τυχούσης γῆς τρέφεται. Τὸ δὲ βοτεῖται γράφεται καὶ φορεῖται, ἵν' ᾖ ἐμφορεῖται. 395. Καὶ τὸ ἀλέξεται δὲ γράφεται καὶ ἀλεύεται ἐπὶ ἐνεστῶτος, ἵν' ᾖ, οὐδ' ἀπαλεύεται καὶ ἐκκλίνει καὶ ἰᾶται τὴν δίψαν αὐτῆς, καίπερ προθυμουμένη πιεῖν.

396. Τεκμαίρου. Γίγνωσκε, μάνθανε τὸν βασιλίσκον, ὀλίγον μὲν τῇ κακίᾳ, ἐξοχώτατον δὲ τῇ δυνάμει τῶν ἄλλων ἑρπετῶν. 398. ἐπὶ τρία δῶρα. ἤγουν παλαιστάς· δῶρον γὰρ ἡ παλαιστή. Ἐπὶ τρία οὖν δῶρα τὸ πλάτος οἷον μῆκος φέρων τριπάλαιστον· μῆκος δὲ καὶ ἰθὺν ἐκ παραλλήλου τὸ αὐτὸ, ἤγουν μῆκος. 399. σπειραχθέα τὰ ὑπὸ τῆς σπείρας βαρυνόμενα· τὰ γὰρ μεγάλα ἑρπετὰ διὰ τὸ βάρος τῆς οὐρᾶς σπειραχθέα καλεῖται, διὰ τὸ ὡς ἄχθος καὶ βάρος ἔχειν τὴν οὐράν. 400. ἰυγὴ δὲ φωνή τις ἐστὶν ἢ βοὴ ἀδιάρθρωτος ἀπὸ τοῦ συμβαίνοντος πεποιημένη· καὶ Ἐρα-

τοσθένης ἐν Ἀντερινύϊ περὶ κυνὸς λέγων εἶπεν· ἰυγῆς δὲ ὡς παῦρον ἐπέκλυον. ὅτ' ἐς νομόν. ἐς τὸν νομὸν καὶ τὴν ὕλην καὶ τὸν ἀρδηθμὸν τὸ μεσημβρινὸν αἴξαντος, οὐκέτι τὰ σπειραχθέα κνώδαλα τὴν ἰυγὴν τούτου μίμνουσιν. Ἢ οὕτως· ὅτε τοῦ νομοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἀρδηθμοῦ μείρονται, ἀντὶ τοῦ ἱμείρονται, οὐ μίμνουσι τὴν ἰυγὴν ἐκείνου. ὅτ' ἐς νομὸν καὶ ὕλην, λείπει τὸ ὁρμῶσιν· ὅτε ἐς νομοὺς καὶ εἰς ὕλην καὶ εἰς ἀρδηθμὸν τὸ μεσημβρινὸν ἀΐξαντος. 405. οὐδέ τις· ἤγουν οὐδεὶς τῶν οἰωνῶν τῷ σώματι τῷ ὑπὸ βασιλίσκου δηχθέντι προςελθεῖν δυνηθήσεται πρὸς τὸ θοινηθῆναι, ἀλλὰ πάντες οἰωνοὶ φεύγουσι τὸ σῶμα τοῦ δηχθέντος ὑπὸ τοῦ βασιλίσκου, καὶ οὐδεὶς αὐτῶν πρόςεισι τὸν νεκρὸν εἰς τὸ θοινηθῆναι· ἀπείργει γὰρ ἡ ἐξ αὐτοῦ δυσωδία πάντας τοὺς οἰωνοὺς θανατικὴ οὖσα. 406. ὀμβρήρεα δὲ κρώζειν τὸν κόρακα λέγει, ὀμβρήρεα κράζων. Ὅτι δὲ χειμῶνα δηλοῦσιν οἱ κόρακες, καὶ ὁ Ἄρατος μαρτυρεῖ λέγων· δήποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν, ὕδατος ἐρχομένοιο Διὸς παρὰ σῆμ' ἐγένοντο· καὶ Εὐφορίων ὁμοίως· ὑετόμαντις ὅτε κρώζειε κορώνη. 409. εἰ δ' ὀλοή. εἰ δέ τι τῶν ὀρνέων ὑπερβαλλούσῃ λιμῷ κατεχόμενον προσέλθοι τῷ σώματι, αὐτόθεν ἀπόλλυται. [Schol. B. addit: αὐτοῦ ἀντὶ τοῦ αὐτόθι, ἐπὶ τόπου.]

411. πιφαύσκεο. Ἄκουε δὴ καὶ περὶ δρυΐνου, ὃν ἕτεροι χέλυδρον ὀνομάζουσιν. Ἔστι δὲ ὄφις ὁ δρυΐνας, ὃς ἐν ἀεννάῳ λίμνῃ διατρίβει καὶ ἐν δρυσὶν ἢ φηγοῖσιν· ὅταν δὲ καταλιπὼν τὴν λίμνην εἰς τὴν δρῦν ἔλθῃ, τότε δρυΐνας καλεῖται. Σημειωτέον, ὅτι ἡ φηγὸς ἄλλο τί ποτέ ἐστι παρὰ τὴν δρῦν, τουτέστιν οὐκ ἔστι κυρίως δρῦς. Θεόφραστος δέ φησι πέντε γένη δρυῶν· ἐπὶ δὲ τούτων τὴν φηγόν. 416. μολουρίδας· μολουρὶς ζῶόν ἐστιν ὅμοιον ἀκρίδι· ἄλλοι δὲ σίλ-

φη εἶναι ὅμοιόν φασι. 417. σπέρχεται δὲ ἀντὶ τοῦ διώκεται ὑπὸ τοῦ μύωπος· τοῦτον γὰρ τὸν ὄφιν ἀεί ποτε τείρει ὁ μύωψ καὶ διώκει αὐτόν. Τότε οὖν διωκόμενος ὑπ' αὐτοῦ εἰς κοῖλον πρέμνον δρυὸς ὑπεδύσατο. 420. ἀρπεδές. οἷον ἐπίπλατυν καὶ ὁμαλὸν, δηλαδὴ οὐκ ὀξυκέφαλός τις. Ἔστι δὲ παρὰ τὴν ἔραν, ἤγουν τὴν γῆν, οἱονεὶ ἐροπεδές. Ἡ ἀρπεδὲς ἐπίλεπτον παρὰ τὴν ἀρπεδόνα. 421. Τὸ δ' ἐχθρὸν ἄηται, δυσωδία τις δηλαδὴ ἀπὸ τοῦ σώματος τοῦ θηρίου τοῦ δρυΐνου ἐκπέμπεται. 422. πλαδόωντα ἕως τοῦ λάθαργοι· τοιαύτην, φησὶ, δυσωδίαν ἀπὸ τοῦ σώματος ὁ δρυΐνας ἀφίησιν, οἵαν καὶ οἱ περὶ τὰ δέρματα τῶν ἵππων σκώληκες ἀφιᾶσι τεμνόμενοι. 423. ἄρβηλοι δὲ λέγονται τὰ κυκλοτερῆ σιδήρια, οἷς οἱ σκυτοτόμοι τέμνουσι καὶ ξύουσι τὰ δέρματα. λάθαργοι δὲ οἱ ὑμένες καὶ τὰ ξύσματα τῶν δερμάτων. γναμπτόμενοι δὲ τουτέστι ξυόμενοι ὑπὸ τοῖς ἀρβήλοις ἢ σμίλαις ἢ ξύστροις οἱ λάθαργοι, μυδῶσιν ἤγουν ὄζουσι. [Γνάμπτω δὲ τὸ ξέω,] ὅθεν καὶ κναφεύς. 424. κώληπος, ἤγουν τοῦ ἀστραγάλου. Ὅμηρος· κόψ', ὄπιθεν κώληπα τυχών. 425. πνιγόεσσα δὲ ἤγουν χαλεπὴ, ὥστε τὸν ὀσφρανθέντα πνίγεσθαι. κεδαιομένη δὲ ἀντὶ τοῦ σκεδαννυμένη, οἱονεὶ μεριζομένη καὶ σκορπιζομένη, κατὰ στέρησιν τοῦ σ. Γράφεται δὲ καὶ κεδαννυμένη. 427. [πεδόωσι δὲ ἀντὶ τοῦ πεδοῦσιν, ἀμαυροῦσιν.] ἀλυσθαίνοντος δὲ τουτέστι ἀδημονοῦντος καὶ ἐν ἄλυϊ τυγχάνοντος ἤγουν ἀδημονίᾳ. 429. ῥινοὶ δὲ πλαδόωσιν· ἀντὶ τοῦ δυσωδίαν πέμπουσιν αἱ βύρσαι αὐτῶν. 430. νεμέθων δὲ ἤγουν νέμων, κατατρώγων. ἐπιβόσκεται δὲ ἤγουν καταδαπανᾷ καὶ δαμάζει. 431. κακοσταθέοντα δὲ ἤγουν μηδ' ὁπωσοῦν ἠρεμοῦντα, ἢ μὴ ἱστάμενον, ἀλλὰ κακῶς ἑστῶτα, ἢ σειόμενον, διὰ τὸ βαρεῖσθαι. 432. οἱ δέ τε. τουτέστιν ἄλλοι πάλιν τῶν δηχθέντων μηκάζουσιν,

οἱονεὶ ὡς αἶγες κράζουσιν ἢ χασμῶνται κατὰ τὸν τρόπον τῶν αἰγῶν, ἢ βληχῶνται. περιπνιγέες δὲ ἀντὶ τοῦ περίπνιγοι, ἤγουν ὡσανεὶ παρὰ τὸ πνίγεσθαι γίνονται, οὐ δύνανται καθαρῶς ὁμιλεῖν. 433. οὖρα δ' ἀπέστυπται. ἤγουν ἀποστύφεται, ἀντὶ τοῦ ὠχρὰ φαίνεται. 434. ῥέγκουσι δὲ ἤγουν πνευστιῶσι, ῥέγχουσι. [διὰ τὸ μὴ δύνασθαι ἀναπνεῦσαι.] 436. Τὸ δὲ ἐπιδίψιος ἄτη ἀντὶ τοῦ δίψῃ χαλεπῇ συνεχόμενοι οἱ ἄνθρωποι ἀποθνήσκουσι. 437. τρόμον δὲ, ἐπειδὴ μετὰ τὰ προειρημένα πάντα καὶ τρόμος τοῖς μέλεσι τοῦ κάμνοντος περιτρέχει. 438. Φράζεο δέ. Ὅλος ὁ νοῦς τοῦ στίχου οὗτος. Ὁ δράκων ἐτράφη μὲν ὑπὸ τοῦ Ἀσκληπιοῦ κατά τινα τόπον τοῦ Πηλίου καλούμενον Πελεθρόνιον, τὴν δὲ φύσιν ἐστὶ μέλας, ὑπόχλωρος τὴν κοιλίαν, καλὸς δὲ τὴν μορφὴν, τοὺς ὀδόντας ἔχων τριστοίχους, τὸ δὲ ἐπισκύνιον παρεμφαίνων· καὶ κατὰ τὸν ἀνθερεῶνα λεπίδες ἐπεγηγερμέναι πώγωνος παρέχουσι φαντασίαν, χολοβαφεινῷ σώματι προσεοικυῖαι. Τὸ δὲ δῆγμα ἄπρακτον, καὶ τῷ τῶν μυῶν προσεοικὸς, κἂν χαλεπήνῃ· πολεμεῖται δὲ καὶ πολεμεῖ συνεχῶς τὸν ἀετὸν, πολλάκις μὲν καὶ ἐπὶ τὴν νοσσιὰν παραγενόμενος καὶ τὰ ἐν αὐτῇ ὠὰ σιτούμενος, συνεχῶς δὲ κἀκείνῳ ἐνεδρεύων, ὅταν ἐπὶ ἁρπαγὴν ἀρνὸς ἢ λαγωοῦ τράπηται. Πελεθρόνιον δὲ τόπος ἐστὶ τοῦ Πηλίου ἀνθώδης· διὸ καὶ οὕτω καλεῖται ἀπὸ τοῦ πέλειν ἐκεῖσε τὰ ἄνθη· θρόνα γὰρ τὰ ἄνθη λέγεται. 441. ἄγλαυρος δὲ ἤτοι ἀγλαὸς, καλὸς, λαμπρὸς, εὐπρεπὴς, ὡραῖος φαίνεται. 443. σκυνίοισι. σκύνιον λέγεται τὸ ὑπεράνω τῶν ὀφρύων. χολοιβάφος δὲ ὁ χολῆς χρώμασι βεβαμμένος, ἢ χλωρὸς ὡσεὶ σμαραγδώδης ἢ χρυσίζων. 444. οὐ μὲν ὅγ' αὔτως. οὐ μὴν οὗτος, φησὶ, ὁμοίως τοῖς ἄλλοις ὄφεσιν ἀνίατα δάκνει, ἀλλὰ κἂν βαρέως χαλεπήνῃ, τὸ δῆγμα αὐτοῦ

σμικρὸν καὶ ὅμοιόν ἐστι νυχηβόρου δηλαδὴ τοῦ ἐν νυκτὶ ἐσθίοντος ὃ ἂν εὕρῃ. Εὕρηται δὲ καὶ μυχηβόρου, ἵν᾽ ᾖ, ἐν μυχοῖς ἐσθίοντος. 447. ὑπὸ κραντῆρος. κραντῆρες λέγονται οἱ ὕστερον ἀναβαίνοντες ὀδόντες παρὰ τὸ κραίνειν καὶ ἀποπληροῦν τὴν ἡλικίαν· νεωτέρων γὰρ ἤδη ἡμῶν γενομένων φύονται οἱ ὀδόντες οὗτοι. Κλέανθος δὲ σωφρονιστῆρας αὐτοὺς καλεῖ, διὰ τὸ ἅμα τῷ ἀνιέναι αὐτοὺς καὶ τὸ σῶφρον τοῦ νοῦ λαμβάνειν ἡμᾶς. Νῦν δὲ ἁπλῶς ὀδόντας λέγει. 448. ὄρνις. τὸ ὄρνις αἰετός. ἐκ παλαχῆς, ἀντὶ τοῦ ἐξ ἀρχῆς, γράφεται καὶ ἐξ αἴθρης, ἤγουν ἐξ αἰθέρος, ὑψόθεν. βλώσκοντα δὲ ἐνταῦθα ἤγουν μολοῦντα, βόσκοντα, ἀναστρεφόμενον, νεμόμενον· λέγει δὲ τὸν δράκοντα. 452. κτίλα τ᾽ ὠεά. τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται, καὶ ἐπὶ τῶν τῆς ποίμνης προηγουμένων κριῶν, καὶ ἐπὶ τῶν λιπαρῶν. Ἐμπεδοκλῆς ἐπὶ τῶν ἡμέρων καὶ πραέων· ἦσαν γὰρ κτίλα πάντα καὶ ἀνθρώποισι προςηνῆ, θῆρές τ᾽ ἄνθρωποί τε φιλοφροσύνη τε δεδήει. καὶ Ἡσίοδος· χρὴ δέ σε πατρὶ κτίλον ἔμμεναι. Ὁ δὲ ποιητὴς τὸν ἡγεμόνα τῆς ποίμνης κριὸν λέγει· αὐτὸς δὲ κτίλος ὣς ἐπεπωλεῖτο στίχας ἀνδρῶν. 456. ἀτέλεστα διώκει· ὁ δράκων δηλαδὴ τὸν ἀετὸν, καθὸ οὐδὲν αὐτῷ δύναται ποιῆσαι περιπετομένῳ ἐν ὕψει. τὸ δὲ ἀτέλεστα ἀντὶ τοῦ ἀτελειώτως. Τὸ δὲ ὑποδρὰξ 457. ἀντὶ τοῦ ὑποβλεμματικῶς, ὑποβλεπομένως.

458. Χαλαίποδος. γράφεται καὶ χωλοίποδος καὶ κυλλόποδος· ἀμφότερα δὲ τὸν χωλὸν σημαίνει. ἢ χαλαίποδος διὰ τὸ κεκλασμένους τοὺς πόδας ταῖς ἁρμονίαις ἔχειν. Ἡφαίστου δὲ νῆσον τὴν Λῆμνον. καὶ Ὅμηρος· Κάππεσεν ἐν Λήμνῳ. Σάμον δὲ δυσχείμερον τὴν Σαμοθράκην λέγει. 460. Ῥησκυνθίδος. Ῥησκυνθίδα τὴν Ἥραν λέγει ἀπὸ Ῥησκύν-

θου, ὄρους Θρᾴκης, ὅπου ἱερόν ἐστιν αὐτῆς, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχεν. Ἔστι δὲ τῆς Ἥρας καὶ Ὑντίνου Ἀπόλλωνος νεὼς ἐν τῷ αὐτῷ τόπῳ. Τῆς Αἴνου δὲ πλησίον ἐστὶν ὁ ποταμὸς Ἕβρος· οὐ μακρὰν δὲ τοῦ ποταμοῦ ἐστιν ἡ Ζώνη πόλις, μεθ' ἣν αἱ Ὀρφέως δρύες εἰσὶν, πρὸς ἃς πόλις ἐστὶ, Ζηρύνθιον ἐν ᾗ τὸ ἄντρον. Οἰαγρίδην δὲ τὸν Ὀρφέα λέγει. Οἴαγρος γὰρ ὁ πατὴρ αὐτοῦ. Ἄλλοι δὲ τὸ Ζηρύνθιον ἄντρον ἐν Σαμοθρᾴκῃ φασὶν εἶναι. Λυκόφρων· Ζήρυνθον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς, ὅ ἐστι σπήλαιον τῆς Ἑκάτης. Τῆς δὲ Ζώνης μέμνηται καὶ Ἀπολλώνιος ἐν τῷ· ἀκτῇ Θρηϊκίῃ Ζώνης ἐπιτηλεθάουσαι. μέμνηται καὶ αὐτὸς Νίκανδρος ἀλλαχοῦ· καὶ μὲν ὑπὸ Ζωναῖον ὄρος δρύες ἀμφί τε φηγοὶ ῥιζόθι δινήθησαν, ἀνέστησάν τε χορείαν, οἷά τε παρθενικαί. 463. δήεις. διὰ μακροῦ [ἀπεδόθη] ἡ ἀπόδοσις. Ἔστι δὲ οὗτος μακρὸς καὶ κατάστικτος, ὃν καὶ λέοντα φησὶ καλεῖν, ἢ διὰ τὸ πολύστικτον καὶ ποικίλον τῶν φολίδων, ἢ διὰ τὸ γενναῖον. Λέοντα ἐκάλουν τὸν κεγχρίνην ἤτοι διὰ τὸ ἑαυτὸν μαστίζειν τῇ οὐρᾷ καὶ διεγείρειν εἰς μάχην ὡς λέων ἑαυτὸν, ἢ διὰ τὸ δάκνειν καὶ ῥοφᾷν τὸ αἷμα τοῦ ἀνθρώπου· ἅτινα δὴ καὶ ὁ λέων ποιεῖ· ῥοφᾷ δὲ τὸ αἷμα διὰ τῶν κατακλείδων. 465. πολύστροφον ἀντὶ τοῦ εὐκίνητον ἢ πολλὴν στροφὴν καὶ μέγεθος ἔχον, οἷον εὔμηκες· τὰ γὰρ μακρὰ τῶν ἑρπετῶν πολύστροφά ἐστιν. αἶψα δὲ σαρκί ταχέως δὲ περὶ τὴν σάρκα σηπεδόνας ἐποίησε δυσιάτους· αὗται γάρ εἰσιν αἱ πυθεδόνες. Ὅμηρος· σέο δ' ὀστέα πύσει ἄρουρα. καὶ Ἐρατοσθένης· αἱ δὲ πελιδναὶ πυθεδόνες γάστρηναν ὑπέτρεφον οὐλοὸν ἕλκος. Οἱ δὲ Αἰολεῖς τὸ φθίνειν πύθεσθαι λέγουσι. 470. μαιμώσσων ἀντὶ τοῦ ζητῶν καὶ ὁρμῶν. Γράφεται καὶ λαιμώσσων, ἀντὶ τοῦ πεινῶν, ὡς Ἱππῶναξ· λαιμώσσει δέ σου τὸ χεῖλος ὡς ἐρωδιοῦ. 471.

κτίλα δὲ μῆλα τὰ ἥμερα ἢ τὰ ἑπόμενα τῷ κτίλῳ ἤτοι τῷ προηγουμένῳ κριῷ. 472. Καὶ ὁ Σάος καὶ ὁ Μόσυχλος ὄρη εἰσὶ τῆς Σάμου· μέμνηται δὲ τούτων τῶν τόπων ἐν Λήμνῳ τε καὶ Σαμοθράκῃ, τὰς νήσους ἑκατέρων ἀπὸ τούτων σημαίνων. Ἐκαλεῖτο δὲ Σάος καὶ ἡ ὅλη Θρᾳκικὴ Σάμος. Μόσυχλος δὲ ὄρος τῆς Λήμνου, ὡς Ἀντίμαχος· Ἡφαίστου πυρὶ εἴκελον, ἥν ῥα τιτύσκει δαίμων ἀκροτάτης ὄρεος κορυφῆσι Μοσύχλου. καὶ Ἐρατοσθένης φησί· παμφαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον. 473. ἄγραυλοι· τουτέστιν ὅτε οἱ ποιμένες καταλείψαντες τὰ ἔργα τῶν νομέων, τουτέστι τὸ βόσκειν, καταψύχουσιν ἑαυτοὺς καὶ τὰ θρέμματα ὑπὸ ταῖς μακεδναῖς ἤγουν ἐπιμήκεσιν ἐλάταισι, τουτέστιν ἐν ταῖς σκιαῖς.

475. καταφλέξῃ· ἀντὶ τοῦ ἀγρεύσῃ, περιπλέξῃ, ἤγουν περιπλακῇ. καὶ τὸ μαστίζων ἑαυτὸν δηλονότι τῇ οὐρᾷ, ἢ ὃν ἂν θέλῃ πλῆξαι. καὶ κλῆδας τὰς σὰς ἢ τοῦ οἰκείου χαλινοῦ. 478. σκολιήν· ἤγουν καμπὰς ἔχουσαν ὁδὸν, μὴ εὐθεῖαν πορείαν συστρεφόμενος. Καὶ τὸ δοχμὸς δὲ 479. ἤτοι ἀνακόπτων καὶ ἐναντιούμενος τῇ τοῦ ἑρπετοῦ πορείᾳ.

484. ἀσκαλάβου. ἀσκάλαβον, τὸν καὶ ἀσκαλαβώτην, γαλεώτην οἱ Ἀττικοὶ καλοῦσιν· ἔοικε δὲ σαύραις. Ὁ δὲ μῦθος τοιοῦτος. Λέγεται [φησὶ] τὴν Μετάνειραν εἶναι τὴν Τριπτολέμου μητέρα, ὃν δέδωκε τῇ Δήμητρι ἀνατρέφειν. τοῦτον ἡ Δημήτηρ λαβοῦσα ἀνέτρεφεν ὡς υἱόν· βουλομένη δὲ ἀπαθανατίσαι, συνεχῶς εἰς τὸ πῦρ ἔβαλλεν. ὡς δὲ ἐπιπολὺ τοῦτο ποιοῦσα πεφώραται ὑπό τινος, ἐπαύσατο καὶ οὐκ ἀπηθανάτισεν αὐτὸν, ὑπέδειξε δὲ αὐτῷ τὴν σπορὰν τοῦ σίτου. χρόνῳ δέ ποτε ἡ Μετάνειρα τὴν Δήμητρα ὑπεδέξατο εἰς τὸν οἶκον αὐτῆς· τῆς δὲ θυσίας γενομένης ἐπ' αὐτῇ, παρὼν Ἄμβας ὁ υἱὸς αὐτῆς ἕτερος ἐγελάασκε τὰ γελᾶν τῆς

θυσίας· ἡ δὲ Δημήτηρ ὀργισθεῖσα ἐπιχέασα αὐτῷ τὸ ἐν τῷ κρατῆρι ἀπομεῖναν κέρασμα ἐποίησεν αὐτὸν ἀσκαλαβώτην. Τὸ μὲν οὖν ἐρέει φάτις ἤγουν ὁ λόγος φησί. Τὸ δὲ ἀχαίη Δημητηρ ἢ διὰ τὸ ἄχος καὶ τὴν λύπην τῆς θυγατρὸς, ἢ διὰ τὸν τῶν κυμβάλων ἦχον. 486. Τὸ δὲ θεράπναις ἤτοι ταῖς θεραπαίναις ἢ τόποις πρὸς ξενίαν ἐπιτηδείοις. 490. ἔλοπας, τουτέστιν ἀσθενεῖς ὄφεις· ἀπὸ τοῦ γένους δὲ εἰς γένος ἀνάγει· οὕσπερ καλοῦσιν ἀπὸ τῆς χροιᾶς ἀμμώδεις, ἄλλους δὲ μυόθηρας, τοὺς δ᾽ ἔλοπας. Λίβυας μὲν οὖν τοὺς ἀμμοδύτας φησί· πολλοὶ γὰρ ἐν Λιβύῃ τοιοῦτοι τυγχάνουσι. πολυστεφέας δὲ τοὺς πολλοὺς στεφάνους ἔχοντας καὶ γραμμάς. Μυάγρους δὲ τοὺς μυόθηρας, οἳ καλοῦνται καὶ ὀροφίαι. Ἀκοντίαι δὲ οἱ κατὰ τὰ ἀκόντια διατρέχοντες. Ἄλλα δὲ ζῶά εἰσιν οἱ ἀκοντίαι καλούμενοι, διὰ τὸ ὁρμᾷν, ὥσπερ τὰ ἀκόντια· ἐπὶ τούτοις δὲ οἱ τυφλῶπες, τουτέστιν οἱ καλούμενοι τυφλῖνοι, ἢ, ὡς Ἀπολλόδωρος φησὶν, ὄφεις εἰσίν· οὗτοι δὲ πατούμενοι ἠρεμοῦσιν.

493. θρόνα δὲ τὰς ἀντιπαθεῖς βοτάνας λέγει. τὸ δὲ [494.] δειίσομαι ἀντὶ τοῦ διηγήσομαι. 495. διαμπερέως, ἤγουν ἀκριβῶς, συντόμως. Τὸ δὲ οἷσιν ἀρήγων, ἀντὶ τοῦ οἷστισι θρόνοις καὶ φαρμάκοις βοηθῶν τὴν κατεπείγουσάν σε καὶ καταπονοῦσαν τῆς νόσου ἀνίαν θεραπεύσειας. ἀλθήσῃ γὰρ ἀντὶ τοῦ θεραπεύσειας. 497. Τὰς μέν. Ἄρχεται ἐντεῦθεν περὶ τῶν βοτανῶν διαλέγεσθαι, καὶ πρῶτον περὶ τῆς Χειρωνείας. Τῷ οὖν βλύζοντι αἵματι ἢ τῷ θανάτῳ παρὰ τῷ ἄλγει καὶ τῇ ὀδύνῃ φησί· νέοκμητα δὲ ἤγουν νεοθαλῆ ἢ νεωστὶ τμηθέντα. 499. ἵνα κνῶπες. ἐν τῷ ὅπου οἱ κνῶπες. κνῶπες δέ εἰσιν εἴδη ζώων θηριωδῶν. 500. Πρώτην μὲν Χείρωνος. πρώτην περιλαμβάνει τὴν Χειρωνίαν ῥίζαν, ἥτις πρὸς πᾶν ἁρμόζει, καὶ πανάκειον καὶ κενταύριος καλεῖται.

εὑρεθῆναι δέ φησιν αὐτὸ ὁ Νίκανδρος ὑπὸ Χείρωνος. πολύστροφον δὲ αὐτό φησιν ὁ Θεόφραστος λέγων οὕτω· τὸ δὲ Χειρώνειον ὅμοιον ἀμαράκῳ, μεῖζον δὲ καὶ δασύτερον, ἄνθος δὲ χρυσοειδὲς, ῥίζαν μακράν· φιλεῖ δὲ χωρία ταπεινά. ἐπαλθέα δὲ, ἤγουν θεραπευτικὴν, τὴν Χειρωνείαν φησιν, ἣν καὶ κενταύριον καὶ πανάκειαν καλοῦσιν. 503. ἀμαρακόεσσα δὲ ἤγουν παραπλησία τῷ ἀμαράκῳ κατὰ τὴν χαίτην. ἀμάρακος δέ ἐστιν ἡ καλουμένη σάμψυχος. 505. οὐ βυθόωσα δέ φησιν, ἤγουν οὐ πάνυ κατωτέρα κατὰ τὴν ῥίζαν, οὐδ' εἰς βάθος ἀποπέμπουσα ταύτην. 509. ἀριστολόχεια. Ἀριστολοχείας δύο εἴδη, τὸ μὲν ἄῤῥεν, θῆλυ δὲ τὸ ἕτερον. τὰ δὲ ἄνθη αὐτῆς ὡς ὕσγινος βάπτεται, καὶ ἐρυθρά. Βοτάνη ἐστὶ καὶ ἀριστολόχεια ὠνόμασται. ταύτην δὲ Ἀριστολόχην γυναῖκα εὑρηκέναι. Ἄλλως. Ἀριστολόχεια καὶ περικλύμενον βοτάναι εἰσὶν, ἅπερ φύλλα ἔχει κισσοῦ, ὥς οἱ ἀκριβέστερον περὶ τούτων εἰπόντες. παλίσκιος δὲ ἣ ἐν τοῖς σκιεροῖς τόποις φυτεύεται μᾶλλον. ἐνδατέοιτο δὲ ἤγουν τρίβοιτο, κόπτοιτο, μερίζοιτο. 510. Καὶ τὸ περικλύμενον δὲ τὰ φύλλα, ὡς ἔφην, ὅμοιον τῷ κισσῷ ἢ τῷ περιβοήτῳ ἢ ἑτέρῳ τινί. Τὸ δὲ ὕσγινον φυτόν ἐστι ξανθὸν τῷ χρώματι, εἰς βαφὴν ἐπιτήδειον. Ὑσγινοβαφῆ οὖν λέγεται τὰ ὑσγίνῳ βεβαμμένα. 512. ἀχράδα. Ἑρμώναξ ἐν ταῖς Κρητικαῖς λέξεσι τὴν ἀγρίαν ἄπιον ἀχράδα φησὶν εἶναι. ἡ δὲ ἄπιος εἰς πολλὰ διαιρεῖται· καὶ γὰρ βάκχη λέγεται καὶ μυρτάς· πολυώνυμος γάρ ἐστιν. Οἱ δὲ τὴν μὲν ἀχράδα τὴν ἀγρίαν ἄπιόν φασιν εἶναι, βάκχην δὲ ἄμπελον ἢ μυῤῥίνην. 516. Ὠρικίοιο. Ὤρικος Ἀπόλλωνος πόλις ἐστὶν ἐν Κρήτῃ, ἔνθα καὶ πύξος πολλὴ γίνεται· καὶ διὰ τοῦτο Ὠρίκιον αὐτὸν ἐπωνόμασεν. 518. ἀπόῤῥωξ δραχμαία· τουτέστι μερὶς μία, ὅσον δραχμὴ, τῷ οἴνῳ μισγομένη τῷ κιῤῥαίῳ καὶ διδομένη

τῷ δηχθέντι πιεῖν, ὠφέλιμος. κιῤῥάδος οἴνης· ἀντὶ τοῦ μετὰ κιῤῥαίου οἴνου μισγομένη ἡ ἀριστολόχεια ὠφελεῖ. μαρτυρεῖ Νουμήνιος. [κιῤῥάδος τῆς μελαίνης. Schol. B.] 520. τριόφυλλον. Τὸ τριόφυλλον Διονύσιος μὲν ἐν τοῖς Διονυσιακοῖς καὶ μινυανθὲς καλεῖ, Καλλίμαχος δὲ τριπέτηλον. Ἔχει δὲ τὸ φύλλον ἐμφερὲς τῷ λωτῷ, τὴν δὲ ὀσμὴν τῷ πηγάνῳ, καθ᾽ ὅσον ἐστὶ νέον· ὅταν δὲ παρακμάσαν φυλλοροήσῃ, τότε τὴν ἀναφορὰν ποιεῖται ἀσφάλτου. 521. τρήχοντι πάγῳ, ἀντὶ τοῦ ὑψηλῷ τόπῳ. καὶ ἀποσφάγι βήσσῃ, ἀποτόμῳ καὶ ῥωγάδι. Ἰόλαος δὲ ἐν τῷ περὶ Πελοποννησιακῶν πόλεων τὸ πήγανον ὑπὸ Πελοποννησίων ῥυτὴν καλεῖσθαί φησιν. 526. ὅσον κύμβοιο, ἤγουν ὀξυβάφου· ἐπειδὴ κυφόν ἐστι· σημαίνει δὲ ἐκ τοῦ ἐπιφερομένου τραπεζήεντος· καὶ τὸ παρὰ Σώφρονι κύμβου ἔχον ὄγκον, ἀντὶ τοῦ σκυφοειδοῦς ποτηρίου. ἢ τραπεζήεντος εἶπε τοῦ εἰς τράπεζαν πεποιημένου. Τὸ δὲ κύμβον λέγεται καὶ κυμβίον καὶ ἐμβάφιον καὶ ὀξίς· ἡ δὲ συνήθεια γαράριον καλεῖ. Τοῦτο οὖν φησὶν, ὅτι λάβε τοσαῦτα σπέρματα, ὅσον γεμισθῆναι τὸ ὀξύβαφον· καὶ τὸ παρὰ Σώφρονι δὲ κύμβου ὄγκον ἔχειν, ἀνωτέρω ῥηθὲν, τοῦτο ἐμφαίνει, ὅσον ἂν χωρῇ κυβοειδὲς ποτήριον. 527. καρδόπῳ· ἤγουν κοίλῳ ἀγγείῳ ἢ καυκίῳ. [Λέγεται δὲ κάρδοπος καὶ ἐν ᾗ τὰ ἄλευρα μασσῶνται.] 528. Νῦν δ᾽ ἄγε. Περὶ τῶν μεμιγμένων φαρμάκων ἄρχεται λέγειν, ἃ δὴ καὶ ἀλκτήρια ἐπωνόμασεν, οἱονεὶ ἀποσοβητήρια, ἤγουν ἀποκρουστικὰ τῶν νόσων. 529. Θρινακίαν δὲ τὴν ῥίζαν τῆς θάψου λέγει, διὰ τὸ ἐν Σικελίᾳ γίνεσθαι· ἡ γὰρ Σικελία διὰ τὸ τρεῖς ἄκρας ἔχειν Τρινακρία καὶ Θρινακία καλεῖται. Ἐκεῖ οὖν ἡ θάψος εὕρηται. Ταύτης δὲ τῷ χυλῷ χρῶνται πρὸς ὄφεις. ἔστι δὲ χλωρότερος· ὅθεν οἱ βουλόμενοι χλωροὶ φαίνεσθαι καὶ νοσώδεις ταύτῃ περιχρίον-

ται τὸ πρόσωπον. Εὑρηκέναι δὲ αὐτήν φασι τὸν Κρατεύαν ἐπὶ νήσῳ τῇ Θάψῳ, μιᾷ τῶν Σποράδων· ἔστι δὲ αὕτη ἡ νῆσος Ἀρκαιούσης καὶ Φοινίκης μεταξύ. 533. ῥάδικες δὲ κυρίως μὲν οἱ ἀπὸ τῶν φοινίκων κλάδοι, νῦν δὲ καταχρηστικῶς κέχρηται τῇ λέξει. 534. ἀσφοδέλοιο διανθέος. δισανθέος, διαφανοῦς, εὐανθοῦς, ἢ δισανθοῦς, διπλοῦν ἔχοντος ἄνθος, ὅτι δὶς κατ' ἐνιαυτὸν ἀνθεῖ· ἢ διὰ τὸ τοὺς καυλοὺς αὐτοῦ ἀνθέρικας καλεῖσθαι. 535. καυλεῖον δέ φησι τὸν κάλαμον. ὑπέρτερον δὲ τοῦ ἀνθερίκου φησὶν αὐτὸ, ἀντὶ τοῦ μείζονας ἀνθέρικας τοῦ ἀστάχυος ἔχοντος. Τὸ δὲ ἀμφὶς [536.] ἀντὶ τοῦ χωρίς· οὐ γὰρ ὥσπερ ὁ ἐρεβίνθῳ συμβέβηκε, τοῦτο καὶ ἐπὶ τῶν ἀσφοδέλων, ἀλλὰ χωρὶς ἕκαστον σπέρμα ἔγκειται. Τινὲς δὲ τὸ ἀμφὶς ἀντὶ τοῦ ἀμφί· εἶναι γὰρ τὸν λόγον οὕτως· τὸ δὲ σπέρμα ὅπερ ὁ λοβὸς αὐτοῦ αὔξει. Λοβὸς δὲ λέγεται πᾶσα λεπὶς, ἧς ἔνδον ἐστὶ τὸ σπέρμα. Ἔστι δὲ καὶ ἀγγεῖον, ἐν ᾧ οἱ γεωργοὶ τὰ σπέρματα βάλλουσιν. 537. ἠὲ καὶ ἑλξίνην. ἑλξίνη καλεῖται παρὰ τὸ ἕλκειν εἰς ἑαυτήν· ἡ γὰρ ὀσμὴ αὐτῆς ἐστιν ἑλκυστική· ἢ ὅτι κωλύει τι ἐγγὺς αὐτῆς φύεσθαι. Κλύβατις δὲ, ὅτι χυλὸν ἔχει κολλώδη κηρῷ οἰκεῖον, καὶ τὸν προσιόντα κρατεῖ. ἑλξίνη δὲ καὶ κλύβατις καὶ σιδηρῖτις καὶ παρθένιον καὶ περδίκιον, πάντα ἐπὶ ἑνὸς φυτοῦ. ἰάμνοις δὲ ταῖς ἰαμεναῖς καὶ ἕλεσι. 539. πῖνε. πῖνε, φησὶ, μίξας τὰ προειρημένα κοτύλῃ οἴνου ἢ ὄξους. εἰ δὲ καὶ ὕδατος μίξαις καὶ πίοις, τῷ μήτε ὄξος μήτε οἶνον παρεῖναι, ἀλύξειας ἂν καὶ ἐκφύγοις τὰ κακά. 541. ἐσθλὴν δ' Ἀλκιβίοιο. ἀντὶ τοῦ θεραπευτικήν. Ἀλκίβιος δὲ καλεῖται καὶ ἔχις ἡ βοτάνη. καὶ Ἀλκίβιος μὲν ἀπὸ τοῦ εὑρόντος Ἀλκιβίου, ἔχις δὲ, διὰ τὸ ἰᾶσθαι ὑπ' αὐτῆς τοὺς ὑπὸ ἐχίδνης πληττομένους. Δημήτριος δὲ ὁ χλωρός φησιν ὑπὸ ἔχεως πληγέντα τινὰ Ἀλκίβιον, κοιμώμενον

παρὰ τῇ ἀλωνίᾳ ἐγγὺς ὕδατος ἢ ἐγγὺς θημονίας, [ἀμφότερα γὰρ τὸ ἄντλον σημαίνει·] κατὰ τὸν βουβῶνα ἤγουν τὸ γονάτιον ἀναστῆναί τε καὶ ταύτην τὴν βοτάνην ἀνασπάσαι, καὶ τὸν χυλὸν μὲν διαμασησάμενον καταπιεῖν, ὡς ἀποκρουστικὸν τοῦ ἰοῦ, τὸ δὲ μάσημα ἐπιθέντα τῷ ἕλκει ἰαθῆναι· διὸ καὶ Ἀλκίβιος ἀπὸ τοῦ ἰαθέντος ἡ βοτάνη ὠνόμασται. 543. λείρια δ' ὡς ἴα· τὰ ἄνθη δηλονότι ὡς ἴα περὶ αὐτὴν στρέφεται. ῥαδινὴ δέ· λεπτὴ γάρ ἐστιν ἡ ῥίζα τοῦ ἀλκιβίου, ῥαδαμνώδης ἐντὸς τῆς γῆς αὔξεται, ἤγουν κλαδωδῶς· ῥάδαμνος γὰρ ὁ κλάδος. 547. Τὸ δὲ εἶθαρ ἀνέπνευσεν ἀντὶ τοῦ εὐθέως ἀναπνεῦσαι αὐτὸν τῆς κακοπαθείας ἐποίησεν. εἰ δὲ ἐνέπνευσε γράφεται, σημαίνει τὸ ἐνέβαλε. τὸ δὲ λέπος, φησὶ, τῷ τραύματι ἐπέβαλεν. εἰ δὲ ἀνέπνευσεν, οὕτως· ὁ Ἀλκίβιος ῥίζαν ἐρυσάμενος, καὶ τὸ μὲν αὐτῆς καταπίνων θρύψας τοῖς ὀδοῦσι, τὸν χυλὸν δηλονότι, τὸ δὲ μάσημα ἤγουν τὸν φλοῦν τῷ τραύματι περιθεὶς, εὐθέως ἀνέπνευσε τοῦ καμάτου, ἤγουν τοῦ πόνου καὶ τῆς κακοπαθείας, θηλάζων μὲν οὖν, τουτέστι τὸν ζωμὸν ἤγουν τὸν χυλὸν καταπίνων. Πέσκος δὲ τὸν φλοιὸν τῆς βοτάνης ἤγουν τὸ λέπος φησὶν, ὃ μασήσας ἐπέθηκε τῷ τραύματι. 550. ἢ μὴν καὶ πρασίοιο. Τὸ λεγόμενόν ἐστι μελισσόφυλλον, ὃ καὶ μελίφυλλον λέγεται καὶ μελίκταινα. Καὶ τὸ ἔρνος δὲ τῆς πράσου πιὼν μετὰ οἴνου, βοηθήσεται ὁ πληγείς. 551. ἀργῆτι μὲν οὖν οἴνῳ, τῷ λευκῷ καὶ θερμῷ καὶ διαπύρῳ. 552. ἀστόργοιο δὲ τῆς μὴ βουλομένης θρέψαι τὰ βρέφη, τῆς μὴ στεργούσης. κατείρυσε δὲ ἀντὶ τοῦ καταρεῦσαι ἐποίησε. 553. Τὸ δὲ πρωτογόνου καὶ τῆς ἄρτι γεννηθείσης καὶ τῆς ἀρτίως καὶ πρῶτον τετοκυίας· νῦν δὲ τὸ δεύτερον σημαίνει· οἱ γὰρ ἄστοργοι μόσχοι οὐ χαλῶσι ταῖς δαμάλεσι τὸ γάλα, ἀλλ' ἀνακόπτουσι καὶ καρτεροῦσι· τρώγουσαι δὲ τὴν πρά-

σιον [γαλακτοφόρος γὰρ αὕτη·] στέργουσι τὰ τέκνα ὑπὸ τοῦ πλεονάζοντος γάλακτος τοὺς μαστοὺς σφαραγούμεναι, οἱονεὶ σπαρασσόμεναι. Μελίφυλλον δὲ καὶ μελίκταιναν τὴν πράσιον οἱ ποιμένες καλοῦσι, διὰ τὸ ὀσμὴν μέλιτος ἔχειν αὐτήν. 556. ῥοιζηδὸν δὲ ἤτοι μετὰ ῥοίζου καὶ κτύπου ὁρμῶσι πρὸς αὐτὴν αἱ μέλισσαι ἡδόμεναι τῇ μελιτώδει ὀσμῇ, ἣν ἔχει. 557. ἠὲ σύ γ' ἐγκεφάλοιο. ἢ σὺ, φησὶ, λάβε τὰς πέριξ τοῦ ἐγκεφάλου ἀραιὰς μήνιγγας τῆς κατοικίδος ὄρνιθος, καὶ ἐπιθεὶς ὠφελήσεις. Τὸ μήνιγγας δὲ γράφεται καὶ σμήριγγας, καὶ σημαίνει κατά τινας τὰς τρίχας τὰς ἐπὶ τῶν μηρῶν καὶ τοῦ τραχήλου· κατὰ δὲ ἐνίους τὰς ἐπὶ τοῦ μετώπου· ἄλλοι τὸν ὑμένα λέγουσι σημαίνειν τὸν περιτρέχοντα τὸν ἐγκέφαλον. Ἔστι δὲ οὗτος τραχύτερος, περιέχων τὴν ἀρχὴν τὴν ἐν τῷ νωτιαίῳ μυελῷ. ὅτι δὲ ὠφελεῖ ὁ ἐγκέφαλος τῆς ὄρνιθος [εἰς] τοὺς ὀφιοδήκτους, φησὶ καὶ Πέτριχος ἐν Ὀφιακοῖς. 559. Ψῆγμα πολύκμηνον. Γράφεται καὶ πολύκνημον. σημαίνει δὲ ποτὲ μὲν τὸ περίψηγμα, ποτὲ δὲ τὴν βοτάνην, ἧς μνημονεύει καὶ Ἀπολλώνιος ἐν τῷ περὶ βοτανῶν. Ἔτι δὲ γράφεται καὶ ψῆχρα πολύκνημα. 560. ὥστε τραπέζης. Τράπεζα καὶ πύλη μέρη τινὰ εἰσὶν ἐξημμένα τοῦ ἥπατος, ὥσπερ καὶ ὄνυξ καὶ μάχαιρα καὶ κάνεον. Διὰ τοῦ νεύει δὲ χολῆς σχεδὸν (561.) καὶ τῶν τοιούτων ἀνατομικῆς ἐμπειρίας ἐπιστήμην παρίστησιν οἰκείαν ἔξωθεν παριστορῶν ἐγκαίρως. Φησὶν οὖν, ὅτι ἐκεῖνος ὁ λοβὸς, ὃς τῆς τραπέζης ἐκφύεται, ἐγγύς ἐστι τῆς χολῆς καὶ τῶν πυλῶν τῆς τροφῆς. 562. σύμμικτα δὲ μετὰ οἴνου ἢ ὄξους. πλείων δὲ θεραπεία ἐπακολουθήσει τῷ μετὰ οἴνου πίνοντι. 564. ἐν δὲ φόβην. φόβη ἡ θρὶξ, νῦν τὰ φύλλα. 565. Πολλὰ πανάκη ἐστί· τὸ μὲν Ἡράκλειον, τὸ δὲ Χειρώνειον, ὃ καὶ Κενταύρειον καλεῖται, τὸ δὲ Ἀσκληπίειον. Θε-

όφραστος δὲ τὴν τιθύμαλλόν φησι πάνακες λέγεσθαι. 565. οὐλοὸν ὄρχιν· ἢ τὸν ὁλόκληρον ἢ τὸν ὀλέθριον ἑαυτῷ. Σώστρατος γάρ φησιν ἐν τῷ περὶ φύσεως ζώων, ἀμφίβιον εἶναι τὸ ζῶον τοῦτο, ἤγουν τὸν κάστορα, εὑρίσκεσθαι δὲ ἐν ταῖς κατὰ τὴν Σκυθίαν ἐρημίαις, ἔχειν δὲ τοὺς ὄρχεις πλατεῖς ὡς κάπρου. Διαδέδοται δὲ λόγος, ὅτι διωκόμενος ἐκκόπτει τοὺς ὄρχεις αὐτοῦ, νοῶν ὡς αὐτῶν ἕνεκα διώκεται. 566. ἢ ἵππου. Καὶ τοῦ ἱπποποτάμου ὁ ὄρχις ὠφελεῖ, φησί. Σάϊς δὲ πόλις Αἰγύπτου γέμουσα ἱπποποτάμων. αἰθαλόεσσαν δέ φησιν αὐτὴν, ἐπεὶ μελανόγειός ἐστιν. 567. ἅρπη δὲ σημαίνει μὲν κυρίως τὴν δρεπάνην, νῦν δὲ τοὺς ὀδόντας λέγει, δεικνὺς, ὅτι ὅλους τοὺς στάχυας τρώγει. 568. ζάλον δὲ τὸ βορβορῶδες κῦμά φησιν. 569. Ὁ δὲ χιλὸς σημαίνει μὲν καὶ τὴν τροφὴν, σημαίνει δὲ καὶ τὸν δημητριακὸν καρπὸν, ἤγουν σῖτον καὶ κριθήν. Ὅτε τοίνυν, φησὶν, οἱ χιλοὶ, ἤγουν οἱ σῖτοι, ὑποχλοάζουσι, νεωστὶ δὲ τὴν πόαν ἀπέθεσαν, ἤγουν τὸ βοτανῶδες καὶ χλοῶδες, τουτέστιν ὅτε ἀνθεῖ ὁ σῖτος ὑπόξηρος ὢν, τότε ὁ ἵππος καταλιπὼν τὸ βορβορῶδες κῦμα καὶ τὸν βυθὸν, καὶ ἐξιὼν τοῦ ποταμοῦ, τοσοῦτον περιπατεῖ, ὅσον δύνασθαι φαγεῖν, καὶ πάλιν ὑποστρέφων καταλαβεῖν τὸν ποταμόν. Τὸ γὰρ στείβων πρὸς ἀντιδιαστολὴν τοῦ κολυμβᾷν αὐτὸ εἶπε· κολυμβᾷ γὰρ τὸ ζῶον. 571. παλίσσυτον δὲ ἤτοι ὀπισθόρμητον ἢ ἀναποδίζουσαν· ἀναποδίζων γὰρ καὶ ὑποστρέφων κείρει· ἢ τὴν κατ' ἔτος εὐγνωμονοῦσαν. Ὄγμος δὲ ἡ τάξις, ἡ ἐπίστιχος φυτουργία τῶν δένδρων, καὶ ἡ κατὰ τάξιν ἀγωγὴ, νῦν δὲ ἁπλῶς τὴν ὁδόν. Γίνεται δὲ παρὰ τὸ ἄγω, ἀγμὸς καὶ ὄγμος, μεταθέσει τοῦ ο εἰς α αἰολικῶς, καὶ ὑπερθέσει τοῦ τόνου. 575. ἀραιοτέρης. Ἀντίγονος τὴν λεπτόφυλλον δάφνην ἀραιοτέραν εἶναί φησι, τὴν δὲ αὐτὴν καὶ ἀγρίαν καλεῖσθαι. ἀραιοτέρης οὖν τῆς

λεπτοφύλλου. 576. χραισμήεις· πάνυ δὲ ἂν καὶ ὁ ἀμάρακος ἤτοι σάμψυχος εἴη βοηθητικὸς, ὅταν ἐν τοῖς ἀνδήροις καὶ ταῖς πρασιαῖς, ἤγουν τοῖς κήποις καὶ τοῖς ἀναχώμασι τῶν ποταμῶν ἀνθῇ καὶ φυτεύηται. 577. τάμισον τὴν πυτίαν λέγει, ἥτις ἐπὶ τῶν ἤδη γαλακτοτροφουμένων ζώων εὑρίσκεται. Χρῶνται δὲ αὐτῇ πρὸς πῆξιν τῶν τυρῶν. Καὶ Νικόων δὲ ἐν ταῖς δυνάμεσιν ἀρίστην τὴν πυτίαν εἶναί φησι πρώτην τὴν τοῦ νεβροῦ, δευτέραν δὲ τὴν τοῦ λαγωοῦ, καὶ τρίτην τὴν τοῦ ἐρίφου, ἧς μέμνηται ὁ Θεόκριτος. σκίνακος δὲ τοῦ σκιρτητικοῦ, εὐκινήτου, ταχέος. 578. προκὸς δὲ τοῦ τέκνου τῆς δορκάδος. πάροιθ' ἀπολύματα δὲ, ἀντὶ τοῦ πρῶτον τὰ ἀφοδεύματα καθάρας. 579. ἢ ἐλάφου νηδύν. ἐλάφου νηδὺν τὴν κοιλίαν λέγει. ἣν δὲ, φησὶ, καλοῦσιν ἐχῖνον, τουτέστι ὅπερ πολύπτυχον λέγουσιν. Ἐχῖνος μὲν οὖν κυρίως ἡ κοιλία τοῦ βοὸς, νῦν δὲ ἐπὶ τῆς ἐλάφου. Καὶ ὁ κεκρύφαλος δὲ εἶδος κοιλίας. Ἰστέον δὲ, ὅτι τρεῖς εἰσι κοιλίαι· καὶ ἡ μὲν πρώτη καὶ ἄνω κεκρύφαλος καλεῖται, παρὰ τὸ κρύπτειν τὴν τροφήν· ἡ δὲ δευτέρα ἐχῖνος, διὰ τὸ ἔχεσθαι ἐκεῖ τὴν τροφὴν, ἢ διὰ τὸ τραχύ· ἔστι δὲ τὸ λεγόμενον πολύπτυχον· τρίτη δὲ ἡ ἀποκριτική. Οἱ δὲ τῶν μηρυκωμένων ζώων τρεῖς τὰς κοιλίας λέγοντες τὴν μὲν πρώτην ἤνυστρον καλοῦσι, τὴν δὲ δευτέραν ἐχῖνον, τὴν δὲ τρίτην κεκρύφαλον. 581. δραχμάων δὲ ὅσσον τε δύω μοίρας, ἀντὶ τοῦ δύο δραχμάς. Ὁ δὲ κύαθος μέτρον ἐστί. 582. Τὸ δὲ πολιοῦ ἀντὶ τοῦ παλαιοῦ ἢ λευκοῦ. 583. χραίσμη. χραίσμην τὴν βοήθειαν λέγει. 584. ἄρκευθος δὲ καλεῖται ὁ καρπὸς τῆς κέδρου· ἐπεὶ καὶ αὐτὸ τὸ δένδρον ἄρκευθος λέγεται. Ἔστι δὲ καὶ εἶδος βοτάνης. Ἕτεροι δὲ τὴν βοτάνην φασὶν, οὐ τὸν καρπὸν τῆς κέδρου, ὃ κρεῖττον δοκεῖ. θερειλεχέος δὲ ἤγουν σκιώδους, ἐπεὶ πλατέα ἔχει τὰ πέτηλα,

ὥστε δύνασθαι ὑπ' αὐτῶν σκεπάζεσθαι θέρους ὄντος· ἢ διὰ τὸ ἐν θέρει δύνασθαι ποιεῖν λέχος ἐκ τῶν φύλλων αὐτῆς. ὁ δὲ καρπὸς αὐτῆς σφαιρία τινὰ τραχέα ἐστὶν, ὃν δὴ καὶ σφαίρην εἶπε. 585. βουπλεύρου. Δημήτριος ὁ χλωρὸς τὴν βούπλευρον δένδρον εἶναί φησιν, οὐκ ἔστι δὲ, ἀλλὰ λάχανον, οὗ μνημονεύει Νίκανδρος ἐν τῷ ἐπιγραφομένῳ ὑακίνθῳ, καὶ Ἐπαίνετος ἐν τῷ περὶ λαχάνων. Ἀντίγονος δέ φησι καὶ Λύκωνα μεμνῆσθαι τοῦ λαχάνου. Ἰδαίας δὲ ἢ Κρητικῆς ἢ ὀρεινῆς· καταχρηστικῶς γὰρ πᾶν ὄρος Ἴδη. 585. πηρῖνα· τὸν ὄρχιν. πηρῖνα δὲ ποτὲ μὲν τὸ ἀγγεῖον τῶν διδύμων, ποτὲ δὲ τὸ ἄκρον τοῦ αἰδοίου, ἐξ οὗ αἱ προέσεις γίνονται. θοραίην δὲ τὴν σπερμαίνουσαν· θορὸς γὰρ τὸ σπέρμα, [ὥς φησι καὶ ὁ Ὀππιανός]. 590. σώχειν. σώχειν ἐστὶ τὸ τρίβειν καὶ λειοῦν. 591. κυάθεια οὐδετέρως εἶπεν, ὡς κύκλα καὶ λύχνα· λείπει δὲ τὸ πίε, ὡς ἂν ᾖ, φύρσας δὲ καὶ πιὼν τὸν χολοιβόρον ἰὸν τῶν πληγῶν ἐξελάσεις. 593. χολοιβόρον οὖν φησι τὸν βαρὺν καὶ σφοδρῶς χεόμενον, ἢ τὸν ὁμοίως τῇ χολῇ κατατρώγοντα. Τὸ δὲ ἐρύξεις ἀντὶ τοῦ ἀποδιώξεις, κατασχεῖς καὶ κωλύσεις. 594. ἑξάμορον λέγεται τὸ ἕκτον τῆς κοτύλης. εὐώδεα δὲ κατ' εὐφημισμόν· βαρύοδμος γάρ· ὡς τὴν χολὴν γλυκεῖαν, καὶ τὸ ὄξος γλυκάδιον, καὶ τοὺς ταχεῖς ἀργοὺς, ὥς φησιν Ὅμηρος· οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς. 595. ἦτρον, τὸ γονάτιον, ἢ τὸν ὀμφαλὸν τοῦ νάρθηκος λέγει. ἢ ἦτρον τὴν ἐντεριώνην φησί. Κυρίως δὲ ἦτρον ὁ μετὰ τὸν ὀμφαλὸν τόπος, καὶ μαρτυρεῖ ἠτρίου ἱππείοιο. ὀλόψας δὲ ἀντὶ τοῦ λεπίσας, κόψας. 596. ἱππείου μαράθου. Καὶ τὸ ἱππομάραθον εἶδος βοτάνης ἐστί. Θεόφραστος δὲ λέγει, τὸ ἱπποσέλινον εἶναι· ἐν τοῖς πετρώδεσι δὲ τόποις γίνεσθαι· ὃ δὴ οὕτως ὠνόμασται, διὰ τὸ μέγα εἶναι, ἢ διὰ τὴν τῶν ἵππων στραγγουρίαν·

Τοῦτο δὲ σμυρνεῖον καὶ κόψειον καλοῦσί τινες, ὡς Ἀνακρέων ἐν τῷ περὶ ῥιζοτομικῶν. 597. ἑλεοθρέπτου δὲ σελίνου τοῦ ἐν τοῖς ἕλεσιν ἤγουν ἑλώδεσι καὶ καθύγροις τόποις φυομένου καὶ τρεφομένου. 600. ἐχεπευκέος, ἤγουν πικρᾶς, καθάπερ πεύκη· πικρὰ γὰρ καὶ αὕτη. δραχμάων δὲ δύο ἄχθη φησὶ, τουτέστιν ὁλκήν. 601. θερειγενέος τοῦ ἐν θέρει γινομένου, ἢ ἀθερειγενέος· ἐπειδὴ τοῦ κυμίνου ὁ στάχυς καὶ ὁ καρπὸς ἀθέρας ἔχει, καθάπερ ἡ κριθή. 603. κυάθῳ· τουτέστι τρίτον τῷ κυάθῳ ἀντλούμενον, ἀντὶ τοῦ τρεῖς κυάθους. ἀφύξιμον δὲ παρὰ τὸ ἀφύσσειν. 604. εὐσταθέος δὲ τῆς ναρδοστάχυος δραχμὴν συστήσας. εὐσταθῆ δὲ αὐτήν φησιν, οἱονεὶ ῥωστικήν. Γράφεται καὶ εὐστάχυος. 605. ὀκταπόδην. τὸν ποτάμιον καρκίνον φησίν· ὀκτὼ γὰρ πόδας ἔχουσιν οἱ καρκίνοι. νεοβδάλτοιο δὲ ἀντὶ τοῦ νεωστὶ ἐβδαλμένου, τουτέστι πεπηγμένου, ἢ νεαμέλκτου. Ἔστι δὲ ἀντίπτωσις γενικὴ ἀντὶ δοτικῆς· ἔδει γὰρ εἰπεῖν οὕτω· καρκίνον ἐνθρύψαιο νεοβδάλτῳ γάλακτι. 607. Ἶριν. κελεύει συμμίσγεσθαι τούτοις τὴν ἰλλυρικὴν Ἶριν. Δρίλων γὰρ ποταμὸς Ἰλλυρίδος, καὶ Νάρων, ὃς διαχωρίζει τοὺς Ἰλλυριοὺς καὶ Λιβύρνους. Ἐνταῦθα καὶ ὁ Κάδμος καὶ ἡ Ἁρμονία ᾤκησαν, οἳ καὶ εἰς ὄφεις μετεβλήθησαν, ὥς φησι καὶ Διονύσιος· κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν γένος ἠλλάχθησαν. 609. ἔνθα δύω δασπλῆτε. ὅπου, φησὶν, οἱ δύο ὁ Κάδμος καὶ ἡ Ἁρμονία δράκοντες δασπλῆτες γενόμενοι τὸν νομὸν στείβουσι, τουτέστι τὸν πρὸς νομὴν ἐπιτήδειον τόπον πατοῦσι. δασπλῆτε δὲ χαλεποὶ καὶ φοβεροὶ τοῖς προςπελάζουσι, καὶ δέους εἰσὶ ποιητικοί. 610. ἐρείκη δὲ εἶδος βοτάνης, ἥτις φύλλον ἔχει τῷ κισσῷ παραπλήσιον, μακρότερον δὲ καὶ παχύτερον. 611. οὐλαμὸς δὲ νῦν ἡ τῶν μελισσῶν τάξις· κυρίως δὲ ἡ στρατιωτικὴ τάξις. καὶ τὸ ἕρπων δὲ κατα-

χρηστικῶς εἴρηται ἀντὶ τοῦ ἱπτάμενος. 612. πανακαρπέα· ἢ τὸν ἁπαλὸν ἔτι καὶ νέον· οὐδέπω γὰρ ὁ τοιοῦτός ἐστι καρποφόρος· ἢ πάντη ἄκαρπον· ἐπειδὴ ἄκαρπός ἐστιν ἡ μυρίκη. Καὶ ταύτῃ ἐνομοθέτησεν ὁ Ἀπόλλων τοὺς μάντεις μαντεύεσθαι. 613. μάντιν ἐνὶ ζωοῖσι· τὸν θάμνον τῆς μυρίκης. Μάγοι δὲ καὶ Σκύθαι μυρικίνῳ μαντεύονται ξύλῳ· καὶ γὰρ ἐν πολλοῖς τόποις ῥάβδοις μαντεύονται. Δίνων δὲ ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως καὶ τοὺς μάντεις φησὶ Μήδους ῥάβδοις μαντεύεσθαι. Ἡρόδοτος δὲ ἔν τε τῇ τετάρτῃ καὶ ἐν ἄλλαις, ἐν πολλοῖς παρήγαγε τόποις καὶ ἐν τῇ Εὐρώπῃ τινὰς διὰ μυρίκης μαντευομένους. Καὶ ἐν Λέσβῳ ὁ Ἀπόλλων μυρίκης κλάδον ἔχει· ὅθεν καὶ μυρικαῖος καλεῖται. καὶ Ἀλκαῖός φησιν ἐν τοῖς περὶ Ἀρχεανακτίδην καὶ τὸν πρὸς Ἐρυθραῖον πόλεμον φανῆναι τὸν Ἀπόλλωνα καθ' ὕπνους ἔχοντα μυρίκης κλῶνα. Καὶ Μητρόδωρος ἐν τῷ περὶ συνηθείας ἀρχαιότατον εἶναί φησι φυτὸν τὴν μυρίκην, καὶ τοὺς Αἰγυπτίους ἐν τῇ τοῦ Διὸς πομπῇ ἐστεφανῶσθαι μυρίκῃ, καὶ παρὰ Μήδοις τοὺς μάγους. 614. Κοροπαῖος. τινὲς Θεσσαλικός· Κορόπη γὰρ πόλις Θεσσαλίας. Γράφεται καὶ Ὀρόπειος· Ὀρόπεια γὰρ πόλις Βοιωτίας, ὅπου διασημότατον ἱερὸν Ἀπόλλωνος. 615. μὶξ δὲ ἤγουν μεμιγμένος. κονυζῆεν δὲ φυτὸν τὸ τῆς κονύζης, ἤγουν τὴν κόνυζαν ἔτι ἔγχλοον. Ἡ δὲ ἀκτὴ κατὰ Θεόφραστον ἐν τῇ γ περὶ τῶν φυτῶν θαμνῶδες φυτόν ἐστιν, ἔχει δὲ ῥάβδους πήχεων ἕξ. 617. κύτισόν τε. Ἀντίλοχος ἐν τῷ περὶ κυτίσου φυτόν φησιν ὠφέλιμον εἶναι τοῖς θρέμμασιν, ὅτι πλῆθος γάλακτος ποιεῖ. Ὁ δὲ Μίκτων ἐν τῷ ῥιζοτομικῷ καὶ Κρατεύας τρία εἶναί φασιν εἴδη· καλεῖσθαι δὲ τὸ μὲν πρῶτον ἄρσεν, ὑπό τινων δὲ κώβιον· εἶναι δὲ θαμνίσκον ἔχοντα ῥάβδους ἐρυθράς· τὸ δὲ δεύτερον μυρτίτην καλεῖσθαι ἢ καρυΐτην·

φύεσθαι μὲν παρὰ θαλάσσῃ· καλεῖσθαι δὲ ὑπό τινων θυμαλίδα. εὐγλαγέας δὲ αὐτάς φησιν ἀντὶ τοῦ πολὺν ὀπὸν ἐχούσας ἢ γαλακτώδεις, ἤγουν πληθυνούσας τὸ γάλα. 618. σκαφίδεσσι δὲ δοχαίαις ἀντὶ τοῦ ἀγγείοις δεκτικοῖς. Ὅμηρος· γαῦλοί τε σκαφίδες τε. 619. δεκάτῃ· ἤγουν τὸν οἶνον ἔμβαλε εἰς τὰ εἰρημένα τῇ δεκάτῃ τοῦ χοὸς, ἢ τὸ ὑπὸ τοῦ χοὸς δεκατούμενον, δηλαδὴ κοτύλην καὶ πλέον. 620. γερύνες· ἤγουν τὰ γεννήματα τῶν βατράχων, ἤτοι οἱ μικροὶ καὶ ἀδιάπλαστοι βάτραχοι. ζῶντας οὖν, φησὶ, τοὺς βατράχους ἕψησον μετὰ οἴνου ἢ ὄξους ἢ ὕδατος, καὶ πίε. 622. πολλάκι. Τρεῖς εἶναί φησι θεραπείας· μίαν μὲν ἑψηθέντων τῶν βατράχων, ἑτέραν δὲ τοῦ ἥπατος μετὰ Κερκυραίου οἴνου, ἄλλην τῆς κεφαλῆς ἢ ἐν οἴνῳ ἢ ἐν ὕδατι. ἐνὶ σχεδίῃ δὲ, ἤτοι ἐν τῷ τυχόντι, ἢ ἐν Αἰγυπτίῳ. Σχεδία γὰρ πόλις Αἰγύπτου πλησίον τῆς Χεραίου. Δημήτριος δὲ σχέδιον οἶνον τὸν Κερκυραῖόν φησι· ἔστι γὰρ πεπηγὼς, ὡς Ἀγαθοκλῆς ἐν τῷ περὶ διαίτης. 623. ἢ αὐτοῦ σίνταο. περὶ τοῦ ἔχεος τοῦτό φησιν· ἡ γὰρ κεφαλὴ τούτου ἑψηθεῖσα μετὰ οἴνου ὠφελεῖ. ἐμπισθὲν δὲ ἤγουν ποτισθὲν, ποθέν. 625. ἑλιχρύσοιο. τὸ ἑλίχρυσον ἄνθος ἐστὶν, οὗ μέμνηται καὶ Θεόκριτος. πολυδευκέος δὲ τοῦ γλυκέος, τοῦ ἡδυτάτου· δεῦκος γὰρ τὸ γλυκὺ παρ' Αἰτωλοῖς· ὅθεν ἀδευκὴς ὁ πικρός. ἄνθην δὲ θηλυκῶς εἶπε τὸ ἄνθος. 626. Τὸ δὲ κόρκορον εἶδος λαχάνου εὐτελοῦς. ὅθεν καὶ παροιμία· καὶ κόρκορος ἐν λαχάνοις. [καὶ Ἡφαιστίων μέμνηται τούτου.] Ἔστι δὲ ἀεὶ κατακλινόμενον· ὅθεν καὶ ἠμυόεν αὐτὸ εἶπεν, οἷον μεμυκότα καὶ ἐπικλίνοντα φύλλα ἔχον. [ἢ ἠμυόεν δηλαδὴ κεκλεισμένον, ὡς Ἡσίοδος [Ἔργων 508.]· μέμυκε δὲ γαῖα καὶ ὕλη· ἐπειδὴ πάντα ἐν χειμῶνι συνεσταλμένα εἰσὶ καὶ ἠσφαλισμένα.] πανάκτειόν τε τὴν ὁμοίαν πεκτείῳ. Τινὲς δὲ πανάκειον τὴν

πάντας ἰωμένην, καὶ ἐπεκτάσει τοῦ τ διὰ τὸ μέτρον, πανάκτειον. Διοκλῆς δὲ τὴν κονίλην φησὶν, ἀφ' ὧν μὲν ἡράκλειον καλεῖσθαι καὶ ὀρείγανον, ἀφ' ὧν δὲ ἀγρίαν ὀρείγανον καὶ πανακίδα. Καὶ πανάκτειος οὖν καὶ κονίλη ταὐτόν ἐστι· τὸ δὲ αὐτὸ καὶ ἡράκλειον καὶ ὀρείγανον. Πέτριχος δὲ ἐν τῷ Ὀφιακῷ φησιν, ὅτι Κονίλος εὗρε τὴν βοτάνην. 628. σὺν καὶ ὄνου. ὄνου πέταλον καλεῖται οἱονεὶ ὀνόφυλλον. Τὸ στρομβεῖα [629.] δὲ ψώχοιο ἀντὶ τοῦ τὸν περιφερῆ καρπὸν λείωσον, καὶ τὸ τῆς κακῆς ἐμφόρβια νούσου, οἱονεὶ δαπανητικὰ τῆς νόσου, ἤγουν δι' ὧν ἡ νόσος ἐσθίεται ἤτοι θεραπεύεται. 630. Ἄγρει δή. ἄγε δὴ, ταῖς μικραῖς μήκωσι τὴν ὁμοίαν ῥάμνον κατὰ τὸ μέγεθος, τουτέστιν οὕτω μικρὸν κλάδον. Ῥάμνος δὲ φυτὸν ἀκανθῶδες. 631. ἑρσομένην δὲ ἤγουν βρεχομένην, δροσιζομένην, αὐξομένην. Σημειωτέον δὲ, ὅτι τὸ ἀκανθῶδες φυτὸν ἡ ῥάμνος παρὰ Μυσοῖς καὶ Λυδοῖς φιλέταιρις ὀνομάζεται. 633. Τμῶλος δὲ ὄρος Λυδίας καὶ Μυσίας. Γύγου δὲ σῆμα τοῦ ἐκεῖ βασιλεύσαντος, ὥς φησιν Ἱππῶναξ ἐν τῷ πρώτῳ τῶν Λυδίας ἰάμβων. ἢ τὴν Γυγαίαν λίμνην λέγει, ἀπὸ Γύγου τοῦ ἑκατόγχειρος. Γυγαία γὰρ λίμνη Λυδίας. Καὶ τὸ παρθένιον δὲ λέπας ἀκρωτήριον τῆς Λυδίας οὕτω καλούμενον. καὶ Κίλβις ὄρος Λυδίας, ἢ τόπος ἢ ποταμὸς, ἔνθα πολλοὶ ἵπποι νέμονται. ἀργοὶ δὲ οἱ μὴ ἕλκοντες ἅρματα. Ἀργοὶ δὲ ἵπποι πρῶτον ἐκεῖ ἐτράφησαν· πρώην δὲ καὶ αὐτοὶ ἠροτρίων. [Τὸ παρθένιον ἀκρωτήριον τοῦ Τμώλου τῆς Λυδίας, ὅπου τάφος τοῦ Γύγου τῶν Λυδῶν· ὅπου Κίλβις, τὸ λεγόμενον κ . . . . ἔνθα οἱ ἄγριοι τῶν Λυδῶν . . Schol. B.] 635. χιλεύουσι δὲ ἤγουν τρέφονται ἐσθίοντες ἢ καὶ ἐσθίουσιν. 637. ἔνθα δύω ἐχίεια. ἤγουν δύο εἴδη ἐχίου. Οὕτω δὲ ὠνομάσθη διὰ τὴν ἐξ αὐτῶν ὠφέλειαν· τοὺς γὰρ ὑπὸ

ἔχεως δηχθέντας θεραπεύει. Ὅτι δὲ δύο εἴδη, μαρτυρεῖ καὶ Νουμήνιος ἐν τοῖς Θηριακοῖς, καί φησι τὸ ἕτερον ὠφελεῖν· κατὰ δὲ Νίκανδρον καὶ ἄμφω ὠφελεῖ τοὺς ὑπὸ ἔχεως δηχθέντας· διὸ καὶ οὕτως ἐκλήθησαν· ὧν τὸ ἓν τὸ μικρὸν ὠκιμοειδές ἐστιν· ὠκίμῳ γὰρ ἔχει τὰ φύλλα παραπλήσια· τὸ γὰρ ὤκιμον διὰ τοῦ ἀγχούσῃ δηλοῖ. Ἔχει δέ, φησί, καὶ ἀκανθώδη φύλλα τὸ μικρὸν ἔχειον· μικρὰν δὲ τὴν ῥίζαν καὶ ὑπὸ γῆν ἰοῦσαν ἐλάχιστον. Τὸ δὲ ἕτερον, φησί, ἔχειον φύλλοις καὶ κλάδοις ὑψηλοῖς ἀεὶ θάλλον ὀλίγῳ περιστέφεται ἄνθει. 640. θάλεια. τοῖς φύλλοις ἢ τοῖς κλάδοις ἢ τοῖς ἄνθεσι δασεῖα. 641. πορφύρεται. γράφεται καλχαίνεται· κάλχη γὰρ τὸ ζῶον, ᾧ βάπτεται ἡ πορφύρα, ἢ τὸ ἄνθος. 642. βλάστη. ἡ βλάστη ἤγουν τὸ στέλεχος ἐμφερὲς περιοχῇ ἔχιος· ἔχις δὲ εἶδος βοτάνης· σφεδανὸν δὲ τὸ τραχὺ καὶ σκληρὸν καὶ σφικτόν. 643. ἀνδρακάδα δὲ τὴν μερίδα φασὶν οἱ νεώτεροι, ἀλλ' Ὅμηρος ἐπιῤῥηματικῶς τὸ ἀνδρακὰς εἶπεν. Ἀπὸ τούτων οὖν, φησί, τῶν ἐχιείων ἀνδρακάδα κόψον, ἤγουν μερίδα ἰσόμοιρον. ἰσήρεα γὰρ τὴν ἰσόσταθμον ἤτοι ἰσόζυγον. 644. σφέλας δὲ κυρίως μὲν τὸ ὑποπόδιον, νῦν δὲ ξύλον. πυκνῷ ὅλμῳ, τῇ θυίᾳ. ἢ ῥωγάδι πέτρῃ τῇ λιθίνῃ ἴγδῃ. [κεάσας δὲ ἤγουν τρίψας.] 645. ἠὲ σύ γ'. ἤρυγγος βοτάνη ἐστίν. ἀλθήεντος δὲ ἀκάνθου ἤγουν θεραπευτικοῦ. Λαβὼν τοίνυν τοῦ ἠρύγγου καὶ τοῦ ἀνθεμώδους ἀκάνθου τὰς ῥίζας ἰσοβαρῆ ποίησον, καὶ τρίψας πότισον. Ὁ δὲ Ἀριστοτέλης διαλεγόμενος περὶ τοῦ ἠρύγγου φησί, νέαν ἀγέλης αἰγῶν διαπορευομένης ὁ αὐτὸς ἵστατο, καὶ οἱ ἐπακολουθοῦντες. Μνημονεύει δὲ τοῦ ἀκάνθου καὶ Θεόφραστος ἐν τῇ περὶ φυτῶν. Ἔχει δὲ ἀμφότερα τὰ βοτάνια φύλλα ἀκανθώδη. 647. κλώθοντος. γράφεται καὶ χλοάοντος. τὴν ἔρινον Διοκλῆς ἐν τῷ ῥιζοτομικῷ φησιν εἶναι ὅμοιον

ὠκίμῳ· βοηθεῖ δὲ πρὸς τὰ θηρία· φύεται δὲ πρὸς ποταμοὺς καὶ κρήνας καὶ τόπους εὐηλίους καὶ ὑπωρείας, ἃς δὴ καὶ ἀρπέζας εἶπεν· ἄρπεζα γὰρ οἱονεὶ ὀρόπεζα. ἀμφοῖν καὶ κλώθοντος. φέροις δὲ ἰσόζυγον βάρος ἐξ ἠρύγγου καὶ ἀκάνθου ἐν τοῖς ἐρίου κλύσμασιν ἠρτημένον καὶ ἀποκρεμάμενον ζυγοῦ. 648. εὐκνήμοιο δὲ ἤγουν εὐκλάδου, ἢ εἶδος βοτάνης. τοῖς δύο ὀνόμασιν ἐχρήσατο καθ' ἑνὸς, εὔκνημον καὶ ὄρειον ὁμωνύμως. εὔκημον δὲ οὐδέν ἐστιν ἀκοῦσαι, ἢ οἱονεὶ κνήμας ἢ κλάδους εὐαξεῖς ἐχούσης. 649. σπέραδος δὲ ἀντὶ τοῦ σπέρμα, καὶ κλίνεται τοῦ σπεράδους, ὡς τενάγους. Νεμεαῖον δὲ, ὅτι ἐν Νεμέᾳ εὑρέθη ἡ βοτάνη αὕτη· καὶ ἀείφυλλον διὰ τὸ μὴ ἀποβάλλειν τὰ φύλλα· οὐ γὰρ φυλλορροεῖ. 650. διὰ δύο ν' Ἀττικῶς, ἤγουν ἀνήσου. 651. ὁλκήεσσαν, τὴν ὁλκὴν καὶ βάρος ἔχουσαν διὰ τὰς ῥίζας, ἢ ἐπὶ τὴν ὁλκήεσσαν τὴν βαρουμένην πλάστιγγα πεσοῦσαν. ἢ ῥίζαις ὁλκήεσσαν τουτέστι πολλὴν καὶ ἐπιμήκη ταῖς ῥίζαις. 653. ἄλλοτε μέν τ' ἐχίων. Νῦν μὲν τοὺς ὀφιοδήκτους, νῦν δὲ τοὺς σκορπιοδήκτους, ἄλλοτε τοὺς ὑπὸ φαλαγγίων δηχθέντας θεραπεύσειας. 655. τριπλόον, ἤγουν τριπλοῦν βάρος ἐνθρύπτων ἐν οἴνῳ, τουτέστι τριώβολον, τρεῖς ὀβολούς. Ὁ δὲ νοῦς ἅπας ἐστὶν οὗτος· ἐλαίας φύλλα καὶ σελίνου ῥίζας καὶ ἀνήσου τὸ διπλάσιον βάρος, τὰς εἰρημένας πάσας ῥίζας, ἐχείων λέγω καὶ ἠρύγγου καὶ ἀκάνθου καὶ σελίνου λαβὼν τρίψον καὶ ἐν ἀγγείῳ μίξας ἔχε εἰς βοήθειαν ὄφεων δήγματος ἢ εἰς τύμμα σκορπίου ἢ ῥωγὸς πληγμόν· ἀλλ' ὁπότε ἐξ αὐτοῦ διδόναι ἐθέλοις τινὶ, ὀδελοῦ βάρος, καὶ μόνον σταθμήσας βάλε εἰς οἶνον καὶ οὕτω δός. 656. χαμαίλεον. Δύο εἴδη εἰσὶ χαμαιλέου, ὁ μὲν λευκὸς, ὁ δὲ μέλας, ὃν ποικίλον τινές φασι διὰ τὸ μέλαν, ὡς Κρατεύας. Μνημονεύει δὲ καὶ ἀμφοτέρων Θεόφραστος. 657. ζοφοείδελος δὲ, ὅτι ζοφο-

ειδής ἐστι κατὰ τὴν ὄψιν. 658. ἤϊκται δὲ, ἤγουν ὅμοιός ἐστι σκολύμῳ· ὁ δὲ σκόλυμος εἶδος φυτοῦ, οὗ καὶ Ἡσίοδος μνημονεύει· ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ. τροχέην δὲ χαίτην, ἤγουν περιφερῆ· ἔστι γὰρ τὰ φύλλα τοῦ χαμαιμήλου τοιαῦτα, ὅμοια ὀριγάνῳ. τὴν δὲ τοιαύτην σκιάδειον καλοῦσι. 660. σκαιοῖς δὲ σκιεροῖς, ἀνηλίοις, κοίλοις, σκιὰν ἀποτελοῦσι. 662. πεδόεσσα δὲ ἤγουν χαμαιπετὴς, χαμηλή· διὸ καὶ μολοβρὴν εἶπεν, οἱονεὶ μολιβδοειδῆ, μόλις ἂν αὐξανομένην· ἢ ταπεινὴν, ἀπὸ μεταφορᾶς τῶν ταπεινῶν τῶν ἐπὶ τὴν βορὰν μολούντων. Βούλεται δὲ λέγειν, ὅτι καυλὸν οὐκ ἔχει, ἀλλ' ἐν μέσοις τοῖς φύλλοις ἐστὶν ἡ κεφαλὴ κειμένη. 664. φάρσος δὲ ἤγουν κλωνάριον, ἢ τὸ ἐκτὸς τῆς ῥίζης φλοιῶδες, ἢ μερίδα. 666. Ἄλλην δ' Ἀλκιβίοιο. τουτέστιν ἄλλην βοτάνην, ἄλλο εἶδος ἀλκιβίου, οἷον ἄλλο. φερώνυμον δὲ αὐτὸ εἶπεν, ἐπειδὴ ἀλκεῖ, ἤγουν βοηθεῖ τῇ δυνάμει τῷ χρωμένῳ αὐτῇ εἰς ἀλεξητήριον. 668. Φαλακραίοισι. Τὴν μὲν ἐπακτὴρ, φησὶ, ταῖς Ἀμυκλαίαις σκύλαξι κελεύων τὸν κνυζηθμὸν τοῦ κυνὸς τοῦ θυμολέοντος τὸ ὅλον ἐφώρμησε, τουτέστιν, αὐτὸν τὸν κύνα καὶ ὅλην αὐτοῦ τὴν προθυμίαν καὶ τὴν ἰσχύν. 672. ὅστε ἀντὶ τοῦ ὅστις ὁ κύων. μεταλλεύων ἀντὶ τοῦ ζητῶν. Κρύμνη δὲ καὶ Γράσος Τροίας πεδία. 669. ἵνα θ' ἵππου. τοῦ δουρείου ἵππου. Λειμῶνες δηλονότι τινὲς ἐν Τροίᾳ. Κνυζηθμόν· λείπει ἡ διὰ, διὰ κνυζηθμὸν κυνὸς εὗρε τὴν βοτάνην ταύτην ὁ ἐπακτήρ. [θυμολέοντος δὲ τοῦ κυνὸς ἐπίθετον διὰ τὸ ἄλκιμον. 672. ἐν στίβῳ ὕλης, ἐν τῇ βάσει. Γράφεται καὶ ἐν τρίβῳ ὕλης. 673. κανθῷ. κανθὸν εἶπε τὸ κάτω τῆς ῥινὸς μέρος, ἤγουν τὸ ῥάμφος. ἐνὶ ῥαντῆρι· τοῦ κανθοῦ τὸ μὲν πρὸς τὴν ῥῖνα μέρος ῥαντὴρ λέγεται, ὅτι ῥαίνεται τοῖς δάκρυσι, τὸ δὲ ἕτερον παρώτιον. Schol. B.] 676. Λάζεο. Γράφεται καὶ ἆσαι, οἱονεὶ

χορτάσαι, κορεσθῆναι, ἐμπλησθῆναι· ἀπαρέμφατον δέ ἐστιν ἀντὶ προστακτικοῦ. ἐλαιήεντα δὲ ἤτοι ἐλαιώδη ἢ Ἰταλικόν. Ἐλαία γὰρ πόλις Ἰταλίας. Κρότων δὲ εἶδος φυτοῦ ὅμοιον πεύκῃ. 677. συμμίγδην δὲ ἀντὶ τοῦ συμμεμιγμένως τοῖς φύλλοις τοῦ μελισσοφύλλου. Λέγει οὖν τὸν φλοιὸν τοῦ κρότωνος, ἢ αὐτὴν τὴν ῥίζαν μετὰ τῶν φύλλων τῆς δασείας μελισσοφύλλου. 678. Καὶ τὴν σκορπίουρον, τὴν λεγομένην ἰσχύουσάν τε καὶ ἡλιοτρόπιον, λευκὰ φύλλα ἔχουσαν, ἐλαίας ἐοικότα φύλλοις. 681. καὶ ῥίζαν κοτυληδόνος τὴν ἰωμένην τὰ ἀπὸ κρυμοῦ γινόμενα τῶν ποδῶν ἀποκαύματα. 683. καὶ τῆς πυρίτιδος χλωρὰ φύλλα, καὶ τοῦ σκολοπενδρείου τὸν καυλὸν, ἢ πανάκειον· πάντα ταῦτα ὠφελεῖν εἰς τοὺς ὀφιοδήκτους. Σκορπίουρος οὖν ἡ βοτάνη καλεῖται, ἐπειδὴ ἡ ῥίζα αὐτῆς ἐμφερής ἐστι τῷ τοῦ ζώου κέντρῳ, ἀθερώδης οὖσα· ἔοικε δὲ τῇ τῆς κοτυληδόνος· οἱ δὲ κλάδοι αὐτῆς ἀειθαλεῖς, λευκὰ φύλλα ἔχοντες, ὡς ἡ ἐλαία, εἰς ὕψος ἀνατείνοντα, ὅμοιοι ὄντες τοῖς ἀεὶ χλοάζουσι τῆς μολοθούρου. Αὕτη φύεται ἐν ψαφαρᾷ γῇ ἢ ὀρεινῇ καὶ κρημνώδει. Ἡλιοτρόπιος δὲ διὰ τὸ πρὸς ἥλιον ἀεὶ στρέφεσθαι, ὥσπερ καὶ ἡ ἀνεμώνη. Ἰσχύουσα δὲ, ὅτι τὸ ἐν Αἰγύπτῳ αὐτῆς φυτὸν ἀκανθῶδες τοιαύτην ἔχει δύναμιν· ὅταν γὰρ αὐτῆς ἅψηταί τις, μαραίνονται αὐτῆς τὰ φύλλα· ἐπειδὰν δὲ αὐτὸ ἐάσῃ, πάλιν ἀναθάλλουσιν. Ἰσώνυμον οὖν ταῖς ἡλίου τροπαῖς τὸ ἡλιοτρόπιον λέγει, ὅπερ οὕτω καλεῖται διὰ τὸ πρὸς τὰς τροπὰς τοῦ ἡλίου τρέπεσθαι. Ἐν γὰρ τῷ ἡλιοτροπίῳ καὶ αὐτὸ τὰ φύλλα τρέπει. Τεκμαίρει δὲ ἤγουν σημαίνει, φαίνει, δεικνύει· ἶσον δὲ τοῖς πετάλοις τῆς ἐλαίας, ἐπειδὴ καὶ αὐτὴ ἡ ἐλαία τὰ γλαυκὰ τῶν φύλλων ἄνω ἔχει ἐν θέρους ὥρᾳ, τὰ δὲ μέλανα τοῦ χειμῶνος. 681. κοτυληδόνος. καὶ ἡ κοτυληδὼν εἶδος φυτοῦ ὅμοιον κυμβάλῳ ἐν θριγκοῖς φυόμενον· ἐὰν δὲ

τις φάγῃ αὐτὴν, ἔχων χίμετλα ἐν ποσὶν, εὐθὺς παύονται. Ἄλλως. Κρατεύας ἐν τῷ ῥιζοτομικῷ προστίθησιν, ὅτι καὶ αἱ ὄεις τοὺς ἄρνας μὴ στέργουσαι, ἐάν τις τρίψας κοτυληδόνα δῷ μεθ' ὕδατος, στέργουσι. Τὸ δὲ διήφυσεν ἀντὶ του ἰάσατο, ἐθεράπευσε. 683. Τὴν δὲ πυρῖτιν, τὴν καὶ πύρεθρον καλουμένην, βλωθρὸν ὠνόμασεν. ἡ πυρῖτις καλεῖται, διὰ τὸ δριμεῖα εἶναι κατὰ τὴν γεῦσιν. βλωθρὸς δὲ, ἤγουν ἀπαλὴ, χλωρὰ, ἢ μεγάλη, μακρὰ, μολοθαίρη τις οὖσα, καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ μ εἰς β βλοθρή. Μνημονεύει δὲ αὐτῆς καὶ Ἰόλας λέγων αὐτὴν χρησιμεύειν. Ἔστι δὲ καὶ ἑτέρα πυρῖτις βοτάνη, ἣν πρὸς παντός φησι θηρίου δῆξιν ἀγαθὴν εἶναι, ὥς φησι καὶ Ἀριστεύας. 684. Καὶ ἡ σκολοπένδρειος δὲ βοτάνη ἐστὶν, ὡς ἐν τῷ ἐπιγραφομένῳ νάρθηκι ὁ Ἀνδρέας εἶπεν· ἔοικε δὲ τὸ πέταλον σκολοπένδρᾳ τῷ θηρίῳ· στυπτικὸν δέ ἐστι, καὶ βοηθεῖ τοῖς θηριοδήκτοις. 685. Καὶ τὸ πάνακες δὲ, τὸ καὶ Παιανικὸν, εἶδος φυτοῦ. Φλεγυαῖον δὲ, διότι ἐν Φλεγύαις ἔθνει τῆς Φωκίδος φύεται· Φλεγύαι γὰρ ἔθνος Φωκίδος παρὰ Δελφοῖς ᾤκησαν· ἢ ἐπεὶ οἱ Δελφοὶ Ἀπόλλωνος ἱερὸν Φλεγυήϊον ἱδρύσαντο· ἢ ἐπεὶ ὁ Ἀσκληπιὸς ἐν Δελφοῖς λέγεται ἰατρεῦσαι· ὁ γὰρ Ἀσκληπιὸς υἱὸς ἦν τῆς Κορωνίδος τῆς θυγατρὸς τοῦ Φλεγύου. Παιήων δὲ ὁ Ἀσκληπιός. Μέλας δὲ ποταμὸς Βοιωτίας. 687. Ἰφικλέος ἕλκος. ὅπερ πέπονθε χρανθεὶς τῷ αἵματι τῆς ὕδρας, ὅτε αὐτὴν σὺν τῷ ἀδελφῷ Ἡρακλεῖ ἔκαιε. [Ἡρακλέους γὰρ τὴν ὕδραν ἀναιροῦντος, ὁ ἀδελφὸς Ἰφικλῆς πληγεὶς ὑπ' αὐτῆς ἐθεραπεύθη ὑπ' Ἀσκληπιοῦ.] ἢ τὸ ἔρνος ἀντὶ τοῦ ὁ υἱὸς τοῦ Ἰφικλέους, ἵν' ᾖ λέγων τὸν Ἰόλαον πεπλῆχθαι ὑπ' αὐτῆς· ὅπερ ἄμεινον. Ἰδίως δὲ ταῦτα ἱστορεῖ Νίκανδρος· οὐ γὰρ Ἰφικλῆς, ἀλλ' ὁ τούτου παῖς Ἰόλαος συνεστράτευσεν Ἡρακλεῖ ἐπὶ τὴν ὕδραν. Τὸ δὲ ἄμερσεν ἀντὶ τοῦ

ἔλαβε. θέρων δὲ ἤγουν ἰώμενος τὸ τοῦ Ἰφικλέος ἕλκος. ἐπυράκτεεν, ἤγουν ἔφλεγεν. 689. εἰ δὲ σύ γε. σκύλακας καταχρηστικῶς τὰ τέκνα τῆς γαλῆς. λαιδρὴν δὲ εὐκίνητον, ἀναιδῆ, θρασεῖαν, καὶ ἁρπακτικήν. [σκύλακας γαλέης· αὐτὴν τὴν μητέρα δείρας κτεῖνον, καὶ ἐν πυρὶ τὴν λάχνην αὐτῆς καῖε, ἐκβάλλων πάντα τὰ ἔγκατα αὐτῆς, καὶ ἁλίσας ξήρανον ἐν σκιᾷ· καὶ ὁπόταν χρήζῃς, λαβὼν μάχαιραν τὰ ὀστᾶ ἀφελὼν ῥίψον, τὸ δὲ σκήνωμα τρίψας μετ' οἴνου δὸς πιεῖν μετὰ σιλφίου, ἢ ξηροῦ γάλακτος στροφάλιγγα, ὃ βέλτιον. Ἄλλως· λαβὼν τὴν γαλῆν ἔκδειρον αὐτὴν καὶ ξηράνας εἰς ὅλμον κόπτε συντόμως σὺν δυσὶ δραχμαῖς ἀριστολοχείας καὶ ἀπ' αὐτοῦ τεσσάρων δραχμῶν ὁλκὸν στήσας δὸς μετὰ οἴνου πιεῖν πλήσας ποτήριον. Schol. B.] 690. πρόσπαιον δὲ πρόσφατον. ἀποσκύλαιο δὲ ἤγουν ἐκδείρειας. 691. λάχνη δὲ τὸ δέρμα. καρφαλέου, τουτέστι ξηροῦ ἢ ξηροποιοῦ. καθύπερθε δὲ, ἀντὶ τοῦ ὑπεράνωθεν τῆς ἀϋτμῆς τοῦ καταξήρου πυρὸς, τοῦ σελάοντος ἤγουν ἀναπτομένου. φύσει δὲ τὸ πῦρ κατάξηρον. 692. ἀφόρδια. πάντα τὰ ἔντερα τῆς γαλῆς λαβὼν καὶ τὰ σκύβαλα ῥίψον ἔξω, αὐτὴν δὲ τὴν γαλῆν φύρσον, τουτέστι ταρίχευσον, καὶ πάσον ἅλατι, καὶ ἐν σκιαῖς ξήρανον. Ἐν δὲ τῷ ἁλὸς λείπει ἡ μετὰ, ἵν' ᾖ, μετὰ ἁλός. 693. ἠελίου δίχα, ἵν' ᾖ σκιόψυκτον, ἵνα μὴ ἡ ποιότης αὐτοῦ ἤγουν τὸ ὑγρὸν αὐτοῦ ξηρανθείη, ἤτοι ἡ ἰκμάς. 694. μὴ δὴ ἐνισκήλῃ ἤγουν ξηράνῃ, φησὶ, τὸ σκίναρ νεαρὸν ἔτι ὂν ὁ ἥλιος προσπεσὼν ὀξύς· δυσωδία γὰρ περιέσται, ἢ τὴν ἰκμάδα ἀπόλλυσι. σκίναρ δὲ τὸ γέννημα, παρὰ τὸ σκιρτᾷν· ἢ τὸ σῶμα καὶ σκήνωμα τῆς γαλῆς. Ὁ νοῦς οὗτος· ἀλλ' ὁπόταν χρεία σε καταλαμβάνῃ καὶ κατεπείγῃ κάμνοντα ὑπὸ τῆς ἀλγηδόνος, ἀνάσωχε τῇ κνήστιδι τὸ σκελέτευμα τῆς γαλῆς, καθάπερ τὸ καλούμενον σίλφιον ἢ τυροῦ

στροφάλιγγα. 695. κατεμπάζῃ δὲ ἤγουν κατεπείγῃ. 696. σῶχε διὰ κνῆστι δὲ ἀντὶ τοῦ διάκοπτε εἰς μικρὰ τῇ μαχαίρᾳ τὸ σκελέτευμα ἤτοι τὸ ἐσκληκός. ἀφαυρὸν δὲ σίλφιον, παρ' ὅσον χαῦνον καὶ οὐ στρυφνὸν τὸ σίλφιον. 697. στροφάλιγγα δὲ, ἣν ἡμεῖς τροφαλίδα λέγομεν, οἷον τυροῦ τροχόν. ἐπὶ ξηροῖο γάλακτος, τουτέστι τυροῦ. 698. ἐπικνήθων, ἤγουν ἐπιτρίβων οὕτως διάλυε, ὡς σίλφιον ἢ τυρόν. προφερέστατον δὲ ἄλλων, ἤγουν ὧν ἄνω εἶπε. Γράφεται καὶ ἄλκαρ. 700. Πεύθεο. ἄλλη δύναμις· πυνθάνου δὲ, φησὶ, καὶ ἄκουε καὶ τὴν ἐκ τῆς θαλασσίας χελώνης ἐπικρατοῦσαν βοήθειαν, ἥτις ἀλέξημα γίνεται τῷ τῶν ἑρπετῶν δήγματι· κρατέουσαν οὖν ἀρετὴν ἀντὶ τοῦ βοήθειαν ἐπικρατοῦσαν, θεραπευτικήν. Ἔσται δὲ αὕτη εἶλαρ καὶ ἀλεξητήριον τοῦ δήγματος τῶν δολιχῶν ἑρπετῶν, ὅσα ἂν τοὺς ἀνιαροὺς καὶ ἐπιπόνους ἀνθρώπους βλάπτωσιν. 703. ἤτοι ὅταν. ὅταν, φησὶ, τὴν χελώνην ὑπὲρ τοῦ αἰγιαλοῦ τοῦ πόντου ἐξέλκωσιν οἱ ἁλιεῖς, ταύτην ἀνακυπώσας, τουτέστιν ὑπτίαν ποιήσας καὶ ἀνατρέψας ἐπὶ νῶτον, τὴν κεφαλὴν αὐτῆς ἀπόκοψον χαλκῇ μαχαίρᾳ. ἀπὸ θυμὸν οὖν ἀράξαι ἀντὶ τοῦ φόνευσον. 706. μαυλίδι, μαχαίρᾳ. βλοσυρὸν, μέλαν, κακόν. 707. κεράμῳ δὲ πίθῳ, σταμνίῳ· νεοκμῆτι δὲ καινῷ ἐκ καμίνου. πελιδνὸν δὲ ἤγουν μέλανα. 708. ὀρὸς λέγεται ἡ ὑποστάθμη, ἤγουν τὸ ὑδατῶδες τοῦ πεπηγότος γάλακτος, νῦν δὲ ἐπὶ τοῦ αἵματος, ἤγουν τὸ λεπτὸν καὶ ἄποιον. Ἡ δὲ σύνταξις οὕτως· τὸν πελιδνὸν ὀρὸν πλαδάοντα ἤγουν ὑγρὸν ἀπηθῆσαι, τουτέστι διυλίσαι. εὐεργεῖ ἤγουν καλῶς κατεσκευασμένῃ. μάκτρῃ, ἤγουν θυίᾳ, ἴγδῃ. πελιδνὸν δὲ καὶ τὸν μέλανα, ὡς ἔφην, καὶ τὸν σεσηπότα [καὶ ἰχωρώδη] καὶ ἄχρουν ὀρόν. ἐν λαεργέϊ μάκτρῃ, ὅ ἐστι λιθίνῃ θυίᾳ καὶ ἴγδῃ. 709. ἧς ἐπὶ δή. ἐφ' ἧς δὴ μάκτρας ξήρανον τὸ αἷμα ἐκχέας τὸν ὀρὸν, καὶ

αὐτὸ τὸ διατρυχὲν καὶ διακλασθὲν, διὰ τὸ θρομβῶσαι, αἷμα συντρίψας καὶ λειώσας τεσσάρων δραχμῶν βάρος καὶ τὰ ἑξῆς δίδοθι πιεῖν. Ἄλλως. ἐπειδὴ τὸ αἷμα τῆς χελώνης ξηρὸν ᾖ, κλάσμα τι καὶ μέρος ἀφελὼν, ὡς τετράδραχμον εἶναι, μίγνυε καὶ ἀγριοκυμίνου δύο δραχμὰς, καὶ ἐκ ταμίσου λαγωοῦ τετάρτην μοῖραν. Ἡ μὲν φράσις καὶ ὁ νοῦς τὴν διὰ τοῦ ἦτα γραφὴν ἀπαιτεῖ, τὸ δὲ μέτρον τὴν διὰ τοῦ ἰῶτα, ἵν' ἐπὶ τῆς ταμίσου εἴρηται οὕτως. Ὁ δὲ νοῦς· μίγνυε καὶ ἀγριοκυμίνου δύο δραχμὰς καὶ ἐκ ταμίσου λαγωοῦ τετάρτην μοῖραν δραχμῆς. 713. ἀποτμήγων δέ. ἤγουν ἐκ τῆς εἰρημένης συνθέτου κατασκευῆς δραχμὴν λαβὼν μετὰ οἴνου πιεῖν δίδου τῷ βλαβέντι. Ἐν δὲ τῷ δραχμαῖον λείπει τὸ βάρος. [714. δηεις. Μέχρι τῶν ὧδε τὸν περὶ ὄφεων, ἐντεῦθεν δὲ περὶ φαλαγγίων. Καὶ γὰρ ὁμοίως ἀναλαμβάνει· καὶ πρῶτον περὶ μέλανος ἢ ῥωγός. Δέκα δέ φασι εἶναι γένη φαλαγγίων, εἰ καὶ Νίκανδρος μόνων τῶν ἑπτὰ μέμνηται. Schol. B.] 715. ἔργα δέ τοι σίνταο. ὁ Βασιλεὺς ἐν τῷ Θηριακῷ δέκα γένη φησὶν εἶναι τῶν φαλαγγίων, Ἀπολλόδωρος δὲ ἐν τῷ περὶ θηρίων καὶ Ἀριστοτέλης φησὶν, ὅτι ἐν γυργάθοις γεννῶσι τὰ φαλάγγια, τίκτει δὲ ὑπὲρ τὰ τριάκοντα, γεννηθέντα δὲ τὰ φαλάγγια ἀναιρεῖ τὴν μητέρα, ἐνίοτε δὲ καὶ τὸν ἄῤῥενα. Τὸ οὖν πρῶτον, φησὶ, φαλάγγιον ῥὼξ καλεῖται, διὰ τὸ ῥωγὶ σταφυλῆς ἐοικέναι. Ῥὼξ οὖν φαλαγγίου εἶδος, ὅπερ κατὰ μέσην γαστέρα τὸ στόμα ἔχει· τοῦτο δὲ καὶ μέλαν κέκληται· τὸ γὰρ πισσῆεν τὸ μέλαν δηλοῖ, δηλαδὴ πισσῶδες, διὰ τὸ τοιοῦτον εἶναι τὴν χροίαν ἢ τὴν πνοήν. Ἢ οὕτως· αὐτὸ ὃ κέκληται ῥὼξ, πισσῆεν ἤγουν μέλαν ἐστί. Τὸ οὖν φράζοιο ἀντὶ τοῦ περισκόπει. [716. Τὸ δὲ σήματά τ' ἐν βρυχμοῖσιν ἀντὶ τοῦ, καὶ τὰ ἐν τοῖς δήγμασι γινόμενα σημεῖα. 717. ποσὶν ἕρπων. πολλοῖς ποσὶ

καὶ πυκνοῖς ἕρπων, ὡς ἀράχνης. Τοῦτο, φησί, μέλαν ὂν ἔχει πυκνοὺς πόδας πέριξ, τὴν δὲ κεφαλὴν κατὰ μέσην τὴν κοιλίαν δύο ὀδοῦσιν ὡπλισμένην. Λέγεται δὲ ῥὼξ, ἢ ὅτι τῇ τοῦ βότρυος ἔοικε ῥαγὶ κατὰ τὸ σχῆμα, ἢ ὅτι ῥωγίως τινὰ ἄνθρωπον ἀναιρεῖ τρώσας. Schol. B.] 718. Τὸ δὲ γαστέρι ἐν μέσῃ ἔσκληκεν, ἤγουν ἐξήρανται κατὰ μέσην τὴν γαστέρα ἤγουν τὸ στόμα καὶ τοὺς ὀδόντας κατὰ μέσην τὴν γαστέρα ἔχει. 719. Τοῦ δέ, τούτου τοῦ φαλαγγίου πλήξαντος, φησὶν, ἀνούτητοι καὶ ἄτρωτοι τὸ σῶμα μένουσιν οἱ πληγέντες, οἱονεὶ κατὰ τὸ ἀφανὲς πλήττει πληγὴν καὶ δῆγμα μὴ ἐργαζόμενον· οἱ δὲ ὀφθαλμοὶ τοῦ πληγέντος φοινικοῖ καὶ μέλανες γίνονται. 720. τὰ ἔνερθεν οὖν φάη, τουτέστι τὰ φάη ὑποκάτω φοινίσσονται. 721. Τὸ αὐτίκα δὲ χρὼς καὶ τὰ μετὰ τοῦτο βούλεται δηλοῦν, ὅτι τὸ σῶμα τοῦ δηχθέντος ἄνωθεν τείνεται ἐπὶ τὰ κάτω, καὶ τὰ ἑαυτοῦ αἰδοῖα ἐξορθοῖ, καὶ διὰ τῶν αἰδοίων ἀναδίδωσι χολῶδες, καὶ αὐτὸς δὲ ὁ καυλὸς, τὸ σπερμαῖνον δηλαδὴ μόριον, τῷ σπέρματι δίυγρος γινόμενος, διὰ τὸ ἀκουσίως ἀποσπερματίζειν καὶ γονοῤῥυεῖν τὸν δηχθέντα, προϊάπτεται, ἀντὶ τοῦ προπέμπεται καὶ προδίδοται, καὶ οἱονεὶ σήπεται, καὶ εἰς τὰ ἰσχία δὲ μάλκη, ὅ ἐστι ῥίγος, ἐμπίπτουσα κατέβαλε τοὺς δεσμοὺς τῶν μελῶν, καὶ γονάτων νεῦρα καὶ μύας. 725. Ἀστέριον. δεύτερον, φησὶ, φαλάγγιον, ὃ καλεῖται ἀστέριον. ἐπὶ τῷ νώτῳ δὲ τούτου λιγνωτὰ ἤγουν λιπώδη τινὰ στίλβουσι, καὶ λαμπραὶ ῥάβδοι ἐν τῷ σώματι· δήξαντος δέ τινα ἄϊδηλος ἤγουν ἀπροσδόκητος φρίκη ἐπέδραμε τῷ δηχθέντι, κάρος δὲ καὶ ὕπνος τῇ κεφαλῇ τοῦ δηχθέντος παρακολουθεῖ, καὶ μελῶν ἀσθένεια καὶ χαύνωσις. 729. Κυάνεον. Τρίτον εἶδος φαλαγγίου φησὶν, ὃ καλεῖται κυάνεον· ἔστι δὲ δασὺ καὶ μετέωρον, χαλεπὸν δὲ πλῆγμα ἐπιφέρει καὶ ὀδύνην τῷ δακνο-

μένῳ. πεδήορον οὖν, ἤγουν ὑψηλὸν, ἐκ τοῦ πέδου μετέωρον καὶ ἐκκρεμές. 733. λοιγὸν ἀραχνήεντα. ὁ ἀραχνώδης ἔμετος γλίσχρος ἐστὶ κατὰ τὴν ἀφήν. ἔχει δὲ ὄψιν ἀραχνῶν. ὄλεθρον δὲ ἀραχνήεντα, ὡςανεὶ γλίσχρον καὶ χυμώδη, ἐξήμεσεν, ὅστις διὰ τὸ γλίσχρον κολλίζει τῷ φάρυγγι. [λοιγὸν ἀραχνήεντα. οἷον λεπτὸν, ἀράχνῃ ὅμοιον. Schol. B.] Τὸ δὲ νὺξ περὶ κροτάφοις, τουτέστι σκοτοῦνται καὶ βαροῦνται οἱ κρόταφοι αὐτοῦ. 734. Ἀγρώστης. Τέταρτον εἶδος φαλαγγίου φησὶν, ὅπερ καλεῖται ἀγρώστης. ἔστι δὲ ὅμοιον λύκῳ, μυίᾳ δηλαδὴ, οὕτω καλουμένῃ, ὡς διὰ τῶν ἑξῆς ἐρεῖ. 735. μυιάων. ὁ λύκος δηλαδὴ, ᾧ ἀπεικάζει τὸ φαλάγγιον, ὀλετὴρ τῶν μυιῶν ἐστιν, εἶδος μυίας καὶ αὐτὸς ὢν, μέλαινα, μεγάλη, μακροσκελὴς, δίπους· κατεσθίει δὲ οὐ μυίας μόνον, ἀλλὰ καὶ τὰ ἑξῆς ἐπιφερόμενα ζῶα, μελίσσας, ψῆνας καὶ μύωπας, καὶ τὰ λοιπὰ, ὅσα ἐπὶ δεσμὸν τῶν ἀραχνίων αὐτοῦ παραγένωνται. 737. ἄκμητον δὲ, ἤγουν μὴ ἔχον κάματον καὶ ὀδύνην, τύμμα ἐπιφέρει τῷ ἀνδρί. μεταμώνιον, ἤγουν μάταιον καὶ ἀδρανές. 738. ἄλλο γε μήν. πέμπτον εἶδος φαλαγγίου φησὶν, ὅπερ καλεῖται δύσδηρι· ἔοικε δὲ σφηκὶ, ὅθεν καὶ σφηκεῖον αὐτὸ καλοῦσιν· ὃς δὴ σφὴξ ἐκ τοῦ ἵππου γεννᾶται, καὶ ἐκμάσσεται τὴν θαρσαλέαν αὐτοῦ γενεὰν, ἤγουν ἐκτυποῖ καὶ ἐκφαίνει αὐτὸν κατὰ τὸ θάρσος. 742. τοῖς σκήνεσιν οὖν, φησὶν, ἤγουν τοῖς σκηνώμασι καὶ σώμασι τῶν ἵππων καὶ τῶν ταύρων ἀποθνησκόντων σηπομένοις γεννῶνται ἐκ μὲν τῶν ἵππων σφῆκες, ἐκ δὲ τῶν ταύρων μέλισσαι. λυκοσπάδες δὲ, ἤγουν τραχεῖς καὶ ὅμοιοι λύκοις τῷ χρώματι, ἢ ὅτι ἀναιδεῖς εἰσιν, ὡς οἱ λύκοι· οἱ γὰρ σφῆκες ἀναίσχυντοί εἰσιν· ἢ ὅτι γυμνωθείσης τῆς σαρκὸς ὑπὸ τῶν λύκων, ἐσθιόντων αὐτὰ, τότε γεννῶνται· ἡ γὰρ βύρσα τέως συνέχει αὐτά· οἱ γὰρ λύκοι διασπῶντες τοὺς

βόας αἴτιοι τῶν μελισσῶν εἰσὶ τῆς γεννήσεως. 743. Τοῦ δέ. ὅταν οὖν, φησὶ, τὸ σφηκεῖον πλήξῃ τινὰ, ἄλλα τε τῷ πληχθέντι ἕπονται καὶ δὴ καὶ παλμός· παλμὸς δέ ἐστιν ἡ τῶν νεύρων καὶ τῆς καρδίας καὶ τῶν φλεβῶν νοσησάντων κίνησις. παλμὸς μὲν οὖν ἐξ ἀῤῥώστου σώματος, σφυγμὸς δὲ ἐξ εὐρώστου. 745. μινύθοντα δὲ λέγει τὸν δηχθέντα καὶ ἀσθενῶς διακείμενον, καὶ ἐλαττούμενον. ἀδρανία δὲ ἡ ἀσθένεια, παρὰ τὸ μὴ δύνασθαί τι δρᾷν. 747. Εἰ δ' ἄγε. Ἕκτον εἶδος φαλαγγίου φησὶν, ὃ δὴ μυρμήκειον καλεῖται. ἔοικε γὰρ, φησὶ, μύρμηκι· ἔχει δὲ τὸν μὲν τράχηλον πυῤῥὸν, τὴν δὲ κεφαλὴν μέλαιναν, ἅμα τε καὶ τὸ σῶμα μέλαν, περιέχον μικρὰς λευκὰς ῥανίδας, ἀστέρι ὅμοιον. Σώστρατος δὲ μυρμήκειον καὶ μύρμηκα Ἡρακλεωτικὸν καλεῖ, ὑπὸ δὲ τῶν ἄλλων μυρμηκοειδές. 748. τῇ ἄζῃ μὲν οὖν, ἤγουν τῇ ἀπὸ σήψεως μελανίᾳ τοῦ μύρμηκος ἢ ξηρασίᾳ, ὁμοιοῦνται κατὰ τὴν μορφήν. Δημήτριος μὲν οὖν ἄζην τὴν ξηρασίαν φησὶν, Ἀντίγονος δὲ ἐναντιούμενός φησιν ἄζην τὴν ἐπίχροιαν τοῦ σώματος καὶ μελανίαν· καὶ παρ' Ὁμήρῳ δὲ ἔνιοι ἀκούουσι πεπλασμένον ἄζῃ ἀντὶ τοῦ κεχρωσμένον ὑπὸ μελανίας. 750. αἰθαλέη δὲ, ἤγουν τεφρώδης. Ὁ δὲ νοῦς οὕτως· μέλαινα δὲ καὶ τεφρώδης ὀλίγου φαίνεται ἡ κεφαλὴ, ἀντὶ τοῦ ἐπὶ τῷ τραχήλῳ αὐτοῦ. Γράφεται δὲ καὶ ἀείρεται, ἀντὶ τοῦ ἐπίκειται τῷ τραχήλῳ ὀλίγον μέλαινα ἡ κεφαλή. 751. ἄλγεα. τὰς ἀλγηδόνας, φησὶν, ἴσας παρέχει τοῖς προτέροις θηρίοις, ἤγουν τοῖς φαλαγγίοις, οἷς προεῖπε. 752. χειροδρόποι. ἤγουν οἱ ταῖς χερσὶ δρέποντες ἤγουν θερίζοντες ἄνευ δρεπάνου. ἐν δὴ τοῖς τόποις τῶν ὀσπρίων φησὶ τὸ ἕβδομον εἶδος τῶν φαλαγγίων εὑρεθῆναι. λέγεται δὲ ὅμοιον εἶναι κανθάροις, πυῤῥόν· παρὰ δὲ τὸ δῆγμα τοῦ βλαβέντος φλύκταιναι ἐπανίστανται. Τὸ μὲν οὖν ὄσπρια χέδροπά τ' ἄλλα

(753.) ὅμοιον τῷ ἑρπηστὰς ἔχιάς τε, ἀπὸ γενικοῦ εἰς εἰδικόν. μεσοχλόου δὲ τῆς μήτε λίαν σκληρᾶς μήτε λίαν ἁπαλῆς. ἀλλ' ἔτι ἐγχλόου οὔσης· τότε γὰρ θερίζουσι τὰ ὄσπρια, πρὶν ξηρανθῶσι τελείως. 755. δίενται δὲ ἀντὶ τοῦ διάγουσιν, ἐν τοῖς κυάμοις εὑρίσκονται, ἢ διαιτῶνται, ἢ σιτίζονται καὶ νέμονται. 758. καὶ τὰ ἄτακτα δὲ ἤγουν ἀσυνάρτητα ἡ γλῶσσα φθέγγεται, λήθουσα καὶ παραφρονοῦσα. καὶ τὸ ἀνέστραπται δὲ, ἤγουν τὸ νοερὸν παραβλάπτεται· διάστροφοι δὲ τοῦ πληγέντος οἱ ὀφθαλμοί. 759. Φράζεο. σκόπει, φησὶ, καὶ τὰ ἐν τῇ Αἰγύπτῳ ἑρπετά. οὖλοὸν δέ φησιν αὐτὴν, διὰ τὸ εὖ περὶ τὸν ἀέρα εἶναι, παρὰ τό· οὖλέ τε καὶ μέγα χαῖρε· ἢ διὰ τὰ τικτόμενα ἐκεῖ ἑρπετὰ καὶ θηρία ὀλέθρια ὄντα. Ἡ δὲ σύνταξις τῆς φράσεως ἀκατάλληλός ἐστι. 760. Κνώδαλα δὲ τὰ μικρὰ ζῶα ἐνταῦθα λέγει. φαλαίνας δὲ ζωΰφια τὰ εἰωθότα φαίνεσθαι περὶ τὰς ἁφὰς τῶν λύχνων. Οἱ δὲ περὶ Ἀρίσταρχον τὰ κνώδαλα κυρίως ἐπὶ τῶν θαλασσίων τάττουσιν, Ὅμηρος δὲ ἐπὶ τοῦ χερσαίου· ὁ δὲ Νίκανδρος νῦν ἐπὶ τοῦ πτηνοῦ. Τὸ δὲ ζῶον καλεῖται κρανοκολάπτης· φαλαίνῃ δ' ἐστὶν ὅμοιον, ἣν φάλαιναν νῦν ψῶραν καλοῦσιν· ἢ φάλαινά ἐστιν ἡ παρ' ἡμῖν ψυχή. Ταύτῃ οὖν τῇ ψυχῇ ἐμφερῆ φησὶ τὸν κρανοκολάπτην. Σώστρατος δέ φησιν ἐν τῷ περὶ βλήτων ἢ δακέτων, ὅτι, ἐάν τις λαβὼν κρανοκολάπτην ἐλαίῳ ἀποπνίξῃ, ἀλεξίκακον γίνεται. Φάλαινα δὲ Ῥοδίων ἐστὶν ὄνομα· οὕτω γὰρ αὐτοὶ τὰ περὶ τοὺς λύχνους πετόμενα θηρία καλοῦσι. 761. παιφάσσουσαν δὲ ἤγουν ὁρμῶσαν καὶ πολυταράχως κινουμένην. ἀκρόνυχος δὲ ἤγουν ἑσπερινός. δειπνηστὸς δὲ ἤγουν δεῖπνος. 762. Τὸ στεγνὰ δέ οἱ πτερὰ, ἀντὶ τοῦ ὑμενώδη ὡς τῶν ἀκρίδων. Καὶ ἔγχλοα τοῖα κονίλης· αὐχμηρὰν γὰρ ἔχει τὴν γαστέρα ὁ κρανοκολάπτης· κονίλη δὲ βοτάνιόν ἐστιν ἔχον φύλλα αὐχμηρά.

[ἔγχλοα. αὐχμηρὰν ἔχει τὴν γαστέρα ὁ κρανοκολάπτης, ὁποίαν φησὶ τῆς κονίλης· ἡ κονίλη βοτάνη ἐστί. Schol. B. Margo addit: καὶ ἔγχνοα λέγεται ἤτοι λαχνώδη· οἱ δὲ φθείραντες ἔγχλοα . . . φασί.] 763. ἢ καὶ ἀπὸ σπληδοῖο, ἤγουν ὡς ἀπὸ σποδοῦ, δηλαδὴ σποδώδη τὰ πτερὰ φαίνεται, ὅστις αὐτοῦ ἅψηται· τοῦτο γὰρ τὸ ἐπαύρῃ· τῷ γὰρ ὄντι σποδώδη εἰσὶ τὰ πτερὰ τοῦ κανδηλοσβέστου, ταὐτὸν δὲ εἰπεῖν τῆς νῦν ψώρας, ἤγουν φαλαίνας. ἢ σποδοῦ χροιὰν ἔχει τὰ πτερὰ, οἵαν οἱ ἀπὸ κόνεως μεμολυσμένοι ἔχουσι. 764. τῷ ἴκελος. τούτῳ οὖν, φησὶ, τῷ ζώῳ, τῇ φαλαίνῃ ὅμοιός ἐστιν ὁ κρανοκολάπτης, ὁ καὶ κεφαλοκρούστης καλούμενος, ὃς ἐν τοῖς φύλλοις τῆς περσείας τρέφεται· καὶ ἔχει δὲ ἐν τῇ κεφαλῇ κέντρον, καὶ πτερὰ τέσσαρα. Ἄλλως. ἢ καὶ ἀπὸ σπληδοῖο· καὶ τὰ πτερὰ ἔχει ὅμοια ταῖς ἐν τοῖς κήποις ψυχαῖς. Ἰστέον δὲ, ὅτι Σώστρατος ἐν τῷ περὶ βλήτων καὶ δακέων τὴν περσείαν [ἣν ῥοδακινέαν καλοῦσι,] φησὶν ἀπὸ Αἰθιοπίας εἰς Αἴγυπτον μεταφυτευθῆναι. Βῶλος δὲ ὁ Δημοκρίτειος ἐν τῷ περὶ συμπαθῶν καὶ ἀντιπαθῶν Πέρσας φησὶν ἔχοντας παρ' ἑαυτοῖς θανάσιμον φυτὸν φυτεῦσαι ἐν Αἰγύπτῳ, ὡς ἐκ τούτου πολλῶν μελλόντων ἀναιρεθήσεσθαι· τὴν δὲ ἀγαθὴν οὖσαν εἰς τοὐναντίον μεταστρέψαι, ποιῆσαί τε τὸ φυτὸν τὸν καρπὸν γλυκύτατον, οἷος ὁρᾶται νῦν. Περσεῖος δὲ τὴν γενικὴν εἶπεν, ὡς ἀπὸ τῆς Περσεὺς εὐθείας, Περσέος, καὶ Περσεῖος αἰολικῶς, ἀρσενικῶς κλίνας, ὡς βασιλεὺς, βασιλέος καὶ βασιλεῖος. 767. αὐχένι. τὸ κέντρον, φησὶν, ἐπὶ τῆς κεφαλῆς ἔχει, καὶ τῷ αὐχένι κρύπτει· ἢ τῷ κέντρῳ, φησὶν, ἐν τῷ αὐχένι καὶ ἐν τῇ κεφαλῇ τοῦ ἄνθους ἥψατο καὶ προσέβαλεν. 769. Εἰ δ' ἄγε. Ἐνταῦθα κοινῶς διαλέγεται περὶ τῶν κατ' εἶδος σκορπίων, καί φησι· τῶν, ἤτοι τούτων τῶν ῥηθησομένων σκορπίων, ὁ μέν τις ἐστὶ λευκὸς κατὰ τὸ εἶδος,

ἀβλαβὴς δὲ οὗτος. 772. πυρσός. ὁ ἕτερος δὲ πυῤῥὸς κατὰ τὴν γένυν· [ὁ δὲ πυῤῥὸς ὡς ὅτι μάλιστα ἐπώδυνος· τὸ γὰρ πλῆγμα ὡς ὑπὸ πυρὸς καιόμενον τὸν πληγέντα εἰς αἴσθησιν ἄγει καὶ φλεγόμενόν τε ἐστὶν ἰδεῖν δεινῶς ὑπὸ δίψους αὐτὸν . . . Schol. B.] καύσωνα δὲ τοῖς πληγεῖσιν ἐπάγει. οἱ δὲ περισπαίρουσι, ψυχοῤῥαγοῦσιν, ἢ συνεχῶς κινοῦνται ἐν τῇ λώβῃ, ἤγουν τῷ πάθει, καθάπερ οἱ πυρετῷ συνεχόμενοι. Τὸ δὲ περισπαίρουσι γράφεται καὶ περιπλάζονται, [ἐν ταῖς λώβαις καθάπερ οἱ πυρετῷ συνεχόμενοι.] καρτερὸν δὲ δίψος ἀντὶ τοῦ, μεγάλην δίψαν ἤγειρεν ἐπ' αὐτούς. Σημείωσαι δὲ τὸ δίψος οὐδετέρως. 775. αὐτὰρ ὅγε ζοφόεις. ἕτερος δὲ, φησὶ, ζοφερὸς μὲν τὸ εἶδός ἐστιν, ἄραδον δὲ κακὸν, ἤγουν κακὴν κίνησιν, τῷ δηχθέντι ἐπήνεγκεν, οἷον παλμόν. Ἄλλως. ἄραδος λέγεται ἡ κίνησις σώματος μετὰ γυμνασίας καὶ ἀλγηδόνος· οἱ δὲ πληγέντες ὑπ' αὐτοῦ μεμήνασι καὶ ἀσθμαίνοντες τελευτῶσιν. [Εἴπερ σπαίροντες τελέθουσιν, ὡς ἔν τισιν εὕρηται, γράφεται· εἰ δὲ ἄφραστοι γελόωσιν, εἴη ἂν ἀντὶ τοῦ ἀλογίστως καὶ ματαίως γελῶσιν.] 777. ἄλλος δὲ χλοάων. ἄλλος, φησὶ, χλωρός ἐστι, καὶ ἐπειδὰν τύψῃ, ῥῖγος ἐπάγει τοῖς δηχθεῖσιν οὕτως, ὥστε καὶ τοῦ ἡλίου σφοδρότατα ἀλεείνοντος, αὐτοὺς νομίζειν ἐντὸς χαλάζης ἵστασθαι. 781. Τὸ δὲ ἐννεάδεσμοι ἤτοι ἐννέα ἁρμογαῖς ἤγουν δεσμοῖς καὶ ἁρμοῖς οἱ σφόνδυλοι συνεχόμενοι, ἢ ἐννεάδεσμοι ἤγουν πολύδεσμοι· οὐ γὰρ πλείους τῶν ἑπτὰ ἔχων ὁρᾶται. Δεῖ δὲ ἀκούειν ἐννεάδεσμον οἷον πολύδεσμον, ἵνα μὴ ᾖ ἐπιῤῥηματικόν· τὸ γὰρ ἐννέα ἐπὶ πλήθους τέτακται, ὡς ἄλλοθι ὁ Νίκανδρος μέμνηται τοῦ δύο κέντρα ἔχοντος. εἰσὶ γὰρ ἔνιοι δύο κέντρα ἔχοντες. Ἄλλως. ἐννεάδεσμοι οὔτε διὰ τὸ ἐννέα δεσμοὺς ἔχειν, ὥς φησιν Ἀντίγονος, οὔτε διὰ ἐννέα σφονδύλους, ὥς φησι Δημήτριος· τοὺς γὰρ σπον-

δύλους ὁ σκορπίος οὐ πλείους ἔχων τῶν ἑπτὰ ὁρᾶται, ἀλλὰ καὶ αὐτοὺς σπανίους, καθά φησιν Ἀπολλόδωρος. Ἴσως δὲ λέγει τοὺς δύο κέντρα ἔχοντας σκορπίους. 782. ἄλλος δ' ἐμπέλιος. ἐμπέλιος ὁ πελιδνὸς, ἢ ὁ ὠχρὸς λεγόμενος. Ἔχει δὲ οὗτος μεγάλην γαστέρα· βοσκάδα γὰρ τὴν γαστέρα λέγει. Ἰστέον, ὅτι τὰ ἀνωτέρω δύο εἴδη τῶν σκορπίων, τό τε λευκὸν καὶ τὸ πυῤῥὸν, τινὲς ἀντὶ ἑνὸς λαμβάνουσι, καὶ τὸ ἀκήριος οὕτω νοοῦσιν, ὡς οὐ θανατηφόρος μέν ἐστι, καύσωνα δὲ ὅμως καὶ ὅσα ἄλλα φησὶν, ἐπάγει τοῖς δηχθεῖσιν ὑπ' αὐτοῦ. 783. ἄητος, ἤγουν ἄπληστός ἐστι· διὸ καὶ μεγάλην ἔχειν αὐτὸν ἔφη τὴν γαστέρα· καὶ Ὅμηρος· ἄητος πολέμοιο. 784. Τὸ δὲ βουβῶσι τυπὴν, ἢ ὅτι τοῖς πληγεῖσιν οἰδήσεις βουβώνων ἐμποιεῖ, ἢ ὅτι διαλανθάνων ὑπὸ τὰ ἱμάτια εἰςέρχεται, καὶ τὸν βουβῶνα τύπτει. 785. Βούβρωστις δὲ κυρίως ἡ τροφὴ, νῦν δὲ ἡ ἀνία καὶ [ὁ ἰός.] ἐνδεικτικὸν δὲ τοῦ σφοδροῦ δήγματος ἡ βούβρωστις, ὡςανεὶ λέγει, τοιαύτη δὲ ἀνίᾳ, μεγάλη δηλαδὴ ἀνία, ταῖς γένυσιν ἐνέσκληκεν ἤγουν ἐνεξήρανται ἢ ἐνεστήρικται. 786. Τὸν δ' ἕτερον. Ὁ ἕτερος, φησὶν, ὅμοιός ἐστι τῷ αἰγιαλεῖ καρκίνῳ. αἰγιαλῆϊ γοῦν, ἤγουν οὐ πετραίῳ καὶ πελαγίῳ, οὐ λιμναίῳ ἢ ποταμίῳ, ἀλλ' αἰγιαλεῖ· τῶν γὰρ καρκίνων οἱ μὲν θαλάσσιοί εἰσιν, οἱ δὲ ποτάμιοι. νῦν οὖν τοὺς θαλασσίους λέγει, καὶ τούτων τοὺς αἰγιαλεῖς· αἰγιαλὸς γὰρ ἡ ἀκτὴ τῆς θαλάσσης. 788. Ἄλλοι δ' αὖ. ἄλλοι δὲ, φησὶν, ὅμοιοί εἰσι τοῖς ῥαιβοῖς παγούροις. ῥαιβοῖσιν οὖν, ἤγουν ἐπικαμπέσι, σκαμβοῖς, πλαγίως περιπατοῦσιν. Ἰστέον δὲ, ὅτι ὁ ἄῤῥην σκορπίος ἀεὶ κατάστικτον ἔχει τὴν κοιλίαν καὶ τὰς χηλὰς καὶ τὸ κέντρον. παντὸς δὲ σκορπίου τὸ κέντρον τετρημένον ἐστὶν, ἔχον διπλόην τινὰ δυσόρατον διὰ λεπτότητα, δι' ἧς τὸν ἰοβόλον ἰχῶρα προΐησιν· οὗ τοῖς σιάλοις ἄνθρωπος ῥαινόμενος ἀσθενὴς καὶ ναρ-

κώδης γίνεται. Γίνονται δὲ οἱ σκορπίοι οὐ μόνον ἐξ ἀλλήλων, ἀλλὰ καὶ ἀπὸ σεσημμένων ξύλων καὶ παγούρων. 790. ἐποκριόωσι, τραχύνονται. ὁποῖαι δὲ χηλαὶ τῶν καρκίνων τῶν πετραίων, τοιαῦται καὶ αἱ τῶν σκορπίων ἐοικότων καρκίνοις. ἀφ' ὧν καρκίνων καὶ τὴν γένεσιν ἔχουσιν οἱ σκορπίοι, περὶ ὧν νῦν ὁ λόγος. Ἄλλως. ἐποκριόωσιν, ἀντὶ τοῦ ἐπιτραχύνουσι. πάγουρος δὲ λέγεται παρὰ τὸ ἐν τοῖς πάγοις ὀρούειν, τουτέστιν ὁρμᾷν, ἢ παρὰ τὸ τοὺς πάγους οὐρεῖν καὶ φυλάττειν. Πάγοι δέ εἰσιν οἱ τραχεῖς καὶ δύσβατοι τόποι. 791. Τὸ δὲ ἔμμορον ἤγουν ἔλαχον, ἔτυχον. φασὶ γὰρ, ὅτι ὁ πάγουρος οὗτος, ἐπὰν ἀγρευθῇ παρὰ τῶν ἁλιέων, εἰ δυνηθῇ ἀποδράσας φυγεῖν, καὶ εἰσελθεῖν εἰς τρωγλην, ἀποθνήσκει δηλονότι, καὶ ἐκ τοῦ σκήνους αὐτοῦ γίνονται οἱ σκορπίοι οὗτοι. 792. Τὸ δὲ πολυῤῥοίζοιο θαλάσσης γράφεται καὶ πολυφλοίσβοιο, καὶ πολυστείοιο ἤγουν πολυψήφου. 793. Ἰχθυβολῆες δὲ οἱ ἁλιεῖς, καὶ δελεαστρέες, οἱ δελεάζοντες τοὺς ἰχθῦς. 794. γρώναις δὲ μυοδόκοις, ταῖς τῶν μυῶν τρώγλαις. 795. Τέκνα δὲ κακοφθόρα τὰ κακῶς φθείραντα, ἢ τὰ ἐπὶ κακῇ φθορᾷ τεχθέντα. Ἄλλως. Τζέτζης φησὶ, κακοφθόρα τέκνα οἱ σκορπίοι· τῷ σχολιάστῃ μὴ πείθου τῇδε. 796. καὶ ἕρκεα δὲ τὰς τρώγλας λέγει τῶν μυῶν. 797. Τὸν δὲ μελίχλωρον. Ἄλλος δέ ἐστι σκορπίος οὕτω καλούμενος, διὰ τὸ μελιτόχρους εἶναι, ἤγουν κηροειδὴς, φλογοειδὴς, οὗτινος τὸ ἄκρον τοῦ σφονδύλου μέλαν ἐστί. Θηλυκῶς δὲ εἶπεν ἡ σφόνδυλος. 800. ἔχθιστος. καὶ γὰρ τῷ ὄντι ἔχθιστός ἐστι τοῖς ἀνδράσιν, εἰ βλάψειέ τινα τούτων· ἐπὶ γὰρ πολὺν χρόνον ἔχουσι τὴν ἀλγηδόνα· τῶν δὲ παίδων ἐὰν προσέλθῃ τινὶ, θάνατον εὐθὺς ἐπάγει. Τούτοις δὲ τοῖς σκορπίοις περὶ τὰ νῶτα πτερὰ λεπτὰ χέονται, μάστακι σιτοφάγῳ ἤγουν ἀκρίδι τῇ σιτοφάγῳ ὅμοια· αἵτινες ἀκρίδες ἐπὶ τῶν

ἄκρων ἀθέρων τοῦ σίτου ἐπτάμεναι τὸν λέπυρον ἤγουν τὸν λεπυριζόμενον στάχυν βόσκονται. Γυῖα δὲ νῦν τοὺς πόδας· βούλεται γὰρ δηλοῦν, ὅτι στρεβλῶς περιπατεῖ οἷα καρκίνος. Τὸ δὲ ἴκελα φλογί φησι διὰ τὰς ἐπαγομένας ἀλγηδόνας ἐκ τούτων τοῖς δηχθεῖσι. 804. Πήδασα. κατὰ τὰ πηγάζοντα χωρία ἐν τοῖς ὄρεσιν· [πήδασος γὰρ τὸ ὄρος. κατὰ τούτους δὴ τοὺς τόπους φιλοῦσι διάγειν αἱ ἀκρίδες, ἔνθα καὶ αἱ πτύχες τοῦ κισσοῦ εἰσιν, ἀντὶ τοῦ ὁ κισσὸς περιφραστικῶς.] 805. Οἶδά γε μήν. Ἐπαγγέλλεται εὑρεῖν ἀλεξητήρια φάρμακα πρὸς τὰς τῶν σκορπίων καὶ τῶν ἄλλων δακέτων πληγὰς, εἶτα καθ' ὁμοιότητα μέτεισι καὶ ἐπὶ τὰ κέντρῳ ἀμυνόμενα ζῶα· τοιαῦτα γάρ εἰσι τῶν σκορπίων τὰ τύμματα, οἷα τῶν βεμβίκων. Βέμβιξ δέ ἐστι ζῶον σφηκοειδὲς, μέλαν τῇ χροιᾷ, κέντρῳ χρώμενον, ὡς οἱ σφῆκες. Μνημονεύει δὲ καὶ Παρμένων ἐν τοῖς Ἰάμβοις. Τῶν δὲ μελισσῶν μόνος ὁ ἄῤῥην κέντρον ἔχει· ἔστι δὲ ὅμοιον τῷ σφηκί. 812. Ἡ δὲ πεμφρηδὼν καὶ αὕτη ζῶόν ἐστι παραπλήσιον μελίσσῃ· καὶ ὁ ἴουλος δὲ εἶδος σφηκὸς ἢ σκώληκος τοῦ καλουμένου μυριόποδος. 805. τοῖσι βολάων· ἤγουν τούτοις τοῖς βλαπτομένοις ὑπὸ τῶν βολῶν καὶ τῶν δηγμάτων ἀλεξητήριά εἰσι καὶ ἰάματα οἷάπερ εἰσὶ καὶ ἐπὶ τοῦ βέμβικος τοῦ ὀρεστέρου. Ὀρέστερον δὲ νῦν εἶπε τὸν ἄῤῥενα καὶ πλήττοντα τῷ κέντρῳ καὶ ἰοβόλον· εἰσὶ γὰρ καὶ θηλυκαὶ βέμβικες. 809. ἐμμαπέουσαν δέ φησι τὴν μέλισσαν, ἤγουν ἐνεργοῦσαν κατὰ τὸ βάθος, καὶ σφοδρῶς πλήττουσαν. 812. ἀμφικαρὴς δὲ ἤγουν δικέφαλος. Ψευδῶς δέ φησιν· οὐ γάρ ἐστιν, ἀλλ', ὡς Ἀριστοτέλης φησὶν, εἰς τοὐπίσω πολλάκις ἕρπει, καὶ παρέχει δόξαν τοῦ δικέφαλος εἶναι. 813. ὀπάζεται δὲ ἀντὶ τοῦ παρέχει. 814. νήϊά θ' ὡς· τουτέστιν, ὥσπερ νήϊα πτερὰ περὶ τὴν ναῦν, ἤγουν αἱ κῶπαι, σπέρχονται καὶ ἐλαύνονται, οὕτως αἱ δύο κεφαλαὶ τῆς

σκολοπένδρας κινοῦνται. Ἴσως δὲ διὰ τὸ πολύπουν ὡς ναῦς ἐστιν ἐλαυνομένη. 815. τυφλήν τε. Οἶδα δηλονότι, κατὰ κοινοῦ. καὶ τὴν τυφλὴν καὶ ἐκπληκτικὴν μυγαλῆν ἐπὶ θάνατον ἄγουσαν τοὺς ἀνθρώπους, ἥτις καὶ ἐν ταῖς τροχιαῖς ἤγουν περὶ τοὺς τροχοὺς, διὰ τὸ μὴ ὁρᾷν, ἐμπίπτουσα ἀναιρεῖται ἐκεῖ. Ἀμύντας δέ φησι, τὴν μυγαλῆν ἐκ μυὸς καὶ γαλῆς γίνεσθαι, χαλεπὸν δὲ εἶναι τὸ δῆγμα αὐτῆς, ὅταν δάκῃ. 817. Σῆπα. λείπει τὸ ὁμοίαν, ἵν' ᾖ, τὴν σῆπα τὴν τοῖς πεδανοῖς σαύροις κατὰ τὴν δομὴν ἤγουν τὸ σῶμα ὁμοίαν ἀλύξεις. Ἡ δὲ σὴψ ὁμοία ἐστὶ τῇ σαύρᾳ· καλεῖται δὲ καὶ χαλκίς· ἔχει γὰρ ἐπὶ τοῦ νώτου χαλκιζούσας ῥάβδους· ἐστὶ δὲ τεσσάρων παλαιστῶν. σὴψ δὲ καλεῖται παρὰ τὸ σήπειν τοὺς πληγέντας. Γίνεται δὲ ἐν Συρίᾳ καὶ Λιβύῃ καὶ Κύπρῳ, καὶ διατρίβει ἐν πέτραις. 818. σαλαμάνδρειον. Ἱστορεῖται καὶ ταύτην διὰ πυρὸς πορεύεσθαι καὶ μὴ βλάπτεσθαι· τὰ δὲ ἔντερα αὐτῆς ψιλοῖ τὰς τρίχας. Ἔστι δὲ τὸ ζῶον ὅμοιον σαύρᾳ, τετράπουν, βραχύκερκον. 820. ἄκμηνος δὲ, ἤγουν μὴ κάμνουσα, μὴ φλεγομένη, ἐκτὸς καμάτου, ἢ ἄγευστος καὶ ἀνεπαίσθητος τοῦ πυρός. Οἱ δὲ οὕτω τὰ περὶ τῆς σαλαμάνδρας φασὶν, ὡς ἔστι ζῶον τετράπουν, μήτε δέρμα μήτε λεπίδας ἔχον, βραχὺ δὲ ὂν, ὡς ἡ σαύρα· ἔοικε δὲ τῷ χερσαίῳ κροκοδείλῳ· ψυχρὸν δὲ φύσει ὑπάρχον ἐὰν εἰς κάμινον ἐμπέσῃ, τὸ μὲν πῦρ σβέννυσιν, αὐτὸ δὲ μένει ἄφλεκτον. 821. ῥαγόεν δὲ δέρος φησὶ τὸ διεῤῥωγός· διέῤῥηκται γὰρ τὸ δέρμα τῆς σαλαμάνδρας, δι' ὧν ῥωγάδων ὁ ἱδρὼς αὐτῆς καταστάζων τὸ πῦρ σβεννύει. ἄκρα δὲ γυίων τὰ κῶλα τῶν γονάτων δηλοῖ. 822. Ναὶ μήν. ἀλλὰ καὶ ὅσα, φησὶν, ἡ θάλασσα τοῖς ἑαυτῆς ῥοθίοις ἤγουν κύμασιν ἑλίσσει, οἶδα κατὰ κοινοῦ. Ἔστι δὲ τὸ πόντος ἁλὸς περίφρασις. Βούλεται οὖν διαλεχθῆναι καὶ περὶ τῶν θαλασσίων. 823.

καλουμένην ἐμβαλὼν ἐλαίῳ ξηρανθέντα· κοπέντα μέντοι καὶ ταῦτα μετὰ τῶν φύλλων τῆς κονύζης εἶτα ἀλειψάμενος οὐ προσείσεται 8 τὴν βλάβην, οὐδὲ ἀναμενεῖ παρ' ἐκείνων κακόν τι πείσεσθαι. Καὶ ἡ ῥίζα δὲ τοῦ σιλφίου καὶ ἐλελίσφακος ἐμβληθέντα καὶ ταύτας ἐλαίῳ ὁμοίως βοηθεῖ. ἴδοις δ' ἂν ἀποστραφὲν οἶμαι καὶ ὀλιγωρῆσαν προσπτυσθὲν ἑρπετόν· βαρύνεται γὰρ ἱκανῶς καὶ ἀνατρέπεται τὸ θηρίον, ἢν ἀνθρωπίου ἂν τύχῃ ὀδμή που σιάλου. Ἔστι δὲ δὴ καὶ τὸ διὰ κάμπης ἀπηχθημένον βοήθημα τοῖς ἑρπετοῖς λίαν· μετὰ γὰρ τῆς λεγομένης ἀγρίας μαλάχης τοῦ καρποῦ ἐμβληθεῖσαι ἐλαίῳ κάμπαι καὶ ἀνατριφθεῖσαι ἱκανώτατα τοὺς χρησαμένους ὀνίνησιν, ὥστε ἀτρώτους τὸν ἅπαντα καὶ ἀνεπιβουλεύτους τῶν θηρίων τούτων διαβιοῦν χρόνον. Ἢν δὲ καὶ δύο κλῶνες κοπῶσιν καὶ πάνυ εἰς λεπτὸν μετὰ γε μὴν καρδάμου, τὴν ὁλκὴν ἄγοντος εἰς ὀβολὸν, καὶ δαύκου τῆς βοτάνης τοῦ καρποῦ μήπω ξηρανθέντος, ὥστε μὴ πλέον εἶναι [τὸ] σύμπαν ἢ ὁπόσον ἀνδρὸς [χεὶρ] δυνατὴ δέχεσθαι, εἶτα τρόχια γενόμενα σμικρὰ ἐν ἀνηλίῳ μὲν ἄλλως προσηνέμῳ δὲ χωρίῳ ξηρανθὲν σφόδρα, τῶν τροχίων μετὰ ταῦτα τούτων ἀνιεμένων εἰς ἔλαιον, οὐδεὶς μήποτε μέμψιν οἴσει τῇ τοῖς χρωμένοις τῷ ἐλαίῳ τούτῳ παραγιγνομένῃ βοηθείᾳ.

Vers. 97—117. Οὐ μὴν ἀλλ' εἰ καὶ δύο εὕροι τις θηρία ἀλλήλοις ἐντυγχάνοντα καὶ συμπεπλεγμένα διὰ τῆς μίξεως, εἶτα λαβὼν, ἐμβαλὼν ζῶντα ταῦτα συμπεπλεγμένα, καὶ ἐν εἴδεσίν τισιν εἴς τι δηλαδὴ σκεῦος προεψῆσαι χρησίμως ταῦτα κατεσκευασμένον, ἕψεσθαι ποιείτω· δυνάμενον ῥύεσθαι γὰρ καὶ προανέχειν πάνυ σφόδρα ποιήσει φάρμα-

8 Editum προσοίσεται. Est a προσίεμαι.

χον τὸν ἀπὸ τῶν ἑρπετῶν περιγιγνόμενον τοῖς ἀνθρώποις ὄλεθρον, οὐ μήποτε συγχωροῦν εἰς ἔργον προελθεῖν. συνεψείσθω δὲ τοῖς θηρίοις τούτοις ἄρτι που τυθέντος αὐτοῖς μυελὸς ἐλάφου· δραχμαὶ δὲ ἔστωσαν μὲν περὶ τὰς τριάκοντα ὁ σταθμὸς τούτου τοῦ μυελοῦ· ῥοδίνου δὲ ἐλαίου τὸ ἐμβαλλόμενον εἰς ταῦτα τριτημόριον ἔστω χοός· ἔστω δὲ ἀπὸ τοῦ ῥοδίνου τοῦ εἰκῆ μὲν οὐδὲ ἁπλῶς κατεσκευασμένου, ἀλλ' ὅ φασι τοὺς μυροπώλας ὀνομάζειν τριπτόν· ναὶ μὴν καὶ ὠμοτριβοῦς ἐλαίου 9 μέτρον ἴσον τῷ ῥοδίνῳ ἐμβάλλεσθαι καλόν. κατὰ ταὐτὰ δὲ καὶ τὸν κηρὸν, τέταρτον τούτου τῶν τριάκοντα ἕλκοντος δὴ σταθμόν. ἔστ' ἂν δὲ περιρυῶσιν ἑψομένων αἱ σάρκες τούτων τῶν ὄφεων καὶ συντακῶσιν, ἐπιμελῶς ἐξαιρεῖν μὲν χρὴ φροντίζοντα καὶ ἀποχωρίζειν μακρὰν σφῶν τὰς ἀκάνθας. εἶναι γὰρ ἰόν 10 τινα εἰς αὐτὰς καὶ κακίαν πολλήν. Ἐπιμελὲς δὲ γιγνέσθω κινεῖν ταῦτα σοι τοῦ λοιποῦ πάντα, καὶ ἅμα πάντα μιγνύναι καὶ ὡς ὅτι μάλιστα ἀποτελεῖν εἰς ἕν· ἢν γὰρ οὖν τις ὅλως ποτὲ καθ' ὁδὸν 1 τύχῃ ἢ καὶ τὰ τοῦ θέρους ἔργα μετὰ χεῖρας ἔχων, ὁπότε αὐτὰ ἑαυτῶν χαλεπώτερα τυγχάνει καὶ βλαβερώτερα τοῖς ἀνθρώποις, ἢ τυχὸν ἀλοῶν τις οὖν ἢ λικμῶν τὸν σῖτον ἢ ὑπνῶν ἢ ποιῶν τι οὖν 2, ἄχριστος δὲ μὴ εἴη τούτου μηδὲ ἀνήλιπος τοῦ φαρμάκου, μακρὰν ἀπέσται τοῦ ἀνθρώπου ταῦτα, τούτων κἂν ἐγγὺς ὢν τύχῃ. εἰ δὲ προσάψεται μὴ

---

9 Editum εδεμου. Deinceps τέταρτον τούτων τριάκοντα.

10 Heic ab eadem, quae codicem scripsit, librarii manu in margine adiectum est μακρας. *Bandini.* quod in μακρὰν mutatum post ἀποχωρίζειν inserui.

1 Editum καθολων.

2 παιων τι ουν editum. Fortasse ποιῶν ὁτιοῦν scribendum. Deinceps erat ἀνηλιψος.

προαλειψαμένῳ, ἢ τροφῆς μὴ μετειληφότι ἀνθρώπῳ θηρίον, ὁπότε μᾶλλον ἀναλίσκεται καὶ ἐνεργοτέραν ὁ πληγεὶς δέχεται τὴν βλάβην, οὐδὲν ἧττον ἐπαμῦναι καὶ τούτοις δυνήσει τοῖς λέγεσθαι μέλλουσιν περὶ τούτων ὑπ' ἐμοῦ χρώμενος. ἔρχομαι δὲ λέξων ὁπόσα ἐστὶν τῶν βλαβερῶν τέως κατ' εἶδος θηρίων.

Vers. 118 — 127. Ἡ διψὰς τὸ μὲν πάχος ἐπὶ πλέον τοῦ ἄῤῥενος αὕτη καὶ τὸ μῆκος δοκεῖ, τὸν δὲ θυμὸν δυσχερὴς πάνυ τις τυγχάνει καὶ ἀνυπόστατος· ὁ δὲ θάνατος ὀξύτερον τοῖς ὑπ' αὐτῆς δηχθεῖσιν ἀπαντᾷ· οὐκ ἄν ποτέ τις ῥαδίως πληγεὶς ὑπ' αὐτῆς τὸ καθ' ἑαυτὸν διαφύγοι. ἔστι δὲ ὥρα τοῦ ἔτους καὶ ἀνίσχουσιν αἱ πλειάδες· μόλις ἂν ἴδοις αὐτὰς ὑποφαινομένας πλησίον τοῦ ταύρου. Ἐνταῦθα δὴ θερμαινομένη καὶ ὧν ἐτεκνώσατο τῆς ἀνατροφῆς φροντίζουσα, δεινοτέρα προσελθεῖν ἀνθρώπῳ γίγνεται, ποτὲ μὲν ἔξω τῆς εὐνῆς καὶ ἐπὶ τὰς νομὰς ἐρχομένη, ποτὲ δὲ ἐπανιοῦσα ἐπὶ τὸν φωλεὸν ἐκ τῆς νομῆς καὶ τροφῆς κεκορεσμένη καὶ ὕπνου ποτὲ μετασχεῖν θέλουσα.

Vers. 128 — 144. Ἐκτρέπεσθαι δὲ χρὴ καὶ προορᾷν, διαφυγόντος ἔχεως τὸν ἐπὶ τῇ συνουσίᾳ παρὰ τῆς θηλείας αὐτῷ περιγιγνόμενον θάνατον, ἢ ἐν ὁδῷ ποτε ἢ ἐν ἄλλῳ τῳ χωρίῳ περιπεσεῖν 3 τινα. ἡ μὲν γὰρ θήλεια συμπλακέντος ἄρα αὐτῇ καὶ συμμιγνυμένου τοῦ ἄῤῥενος ἐμφῦσα τοὺς ὀδόντας κατὰ τοῦ αὐχένος ἀποκόπτει αὐτοῦ τὴν κεφαλήν· οἱ δὲ ἀπ' ἐκείνου ἐν τῇ γαστρὶ τὴν ὑπὲρ σφῶν τοῦ πατρὸς

---

3 Heic vna littera euanuit, in sequenti lacuna discissae sunt tres, in tertia vero quatuor litterae. *Bandini*. Editum erat περιπέσιν. Post κεφαλὴν lacunam in edito suppleuit deinde Bandini in Catalogo Bibliothecae Laurent. Mediceae Tom. III. p. 330.

δίκην βουλόμενοι λαβεῖν, ἥκιστα μὲν τὴν ὥραν, ὡς αὐτοὺς ἀποκυηθῆναι, ἐκδέχονται, διαφαγόντες δὲ τὴν γαστέρα ἄλλος ἀλλαχόθε γίγνονται μὲν ἀσινεῖς καὶ ἔξω τούτου τόκου, τὸ δὲ μὴ τὴν ἀπὸ τῶν τέκνων ἐπ' αὐτῇ εἶναι 4 διαφθορὰν ἀμήχανον φυγεῖν. μόνη δὲ τῶν ἄλλων ἑρπετῶν ἡ ἔχις ἐγκύμων γίνεται, τὰ δὲ ἄλλα τοῦτον μὲν οὐδαμῶς πέφυκε γίγνεσθαι τὸν τρόπον, τίκτουσι δὲ ὠὰ καὶ θάλπουσιν αὐτά. ἔπειτα μέντοι ἐντεῦθεν γίγνεσθαι φιλεῖ τὰ τούτων, καὶ τὴν τάξιν τοῦ εἶναι δεῖ διαφυλάττειν ἀκέραιον. ἀλλὰ μὴν ὁπόταν καὶ τύχῃ ἀνηβῶσά τε καὶ ἐπανιοῦσα εἰς τὴν νεότητα ἐκ τοῦ γήρους, τῇ τε ἀκμῇ χαίρουσα καὶ αὐτῷ τῷ τάχει, [ἐν ὀφθαλμοῖς ἔλθοις τούτους]5 μὴ σύγ' ἐναντίος ἔλθοις τούτῳ τῷ θηρίῳ, μηδ' ὅτ', ἀνιμήσασθαι αὐτὴν ἐπιχειρήσαντος ἐλάφου, τὸν θάνατον διαφυγοῦσα ἀνθρώπου προσψαύσειεν ἐλθοῦσα μέλεσι· οὐδὲ γὰρ ἄν ποτε περιέσται ὁ τῷ χόλῳ τῷ ταύτης καὶ τῇ ἀνάγκῃ περιπεσών. Ἀπηχθημέναι δέ εἰσι δεινῶς αὗται ταῖς τε ἐλάφοις καὶ τοῖς νεβροῖς, καὶ πανταχοῦ περινοστοῦσι τά τε δύσβατα τῶν χωρίων καὶ τὰς αἱμασιὰς οἱ ἔλαφοι, τὸν διὰ τῆς σφῶν ἀναπνοῆς ἐπάγειν τοῖς ἑρπετοῖς βουλόμενοι μόρον.

Vers. 145—156. Ἔστι δὲ οὕτω τις τόπος ἐν Θεσσαλίᾳ Ὄθρυς 6 καλούμενος τά τε ἄλλα δυσχείμερος ὤν, καὶ κομιδῇ τραχὺς, εὔφορος δέ ἐστιν ὅδε τῶν ἑρπετῶν λίαν, καὶ αὐτὰ ἔχουσι καὶ αἱ φάραγγες, καὶ ὅσοι δέ εἰσιν ἀλλαχόσε τραχεῖς καὶ δασώδεις τόποι, πλῆθος τούτων βόσκει τῶν θηρίων.

---

4 Editum αυτηνεεειν. Locus nondum est persanatus.

5 Verba seclusa abundare videntur.

6 In margine habetur: *Οθρυς τοπος Θεσσαλιας. Bandini.* Cum Goett. Codice ἐν Θεσσαλίᾳ inserui post τόπος.

Μορφὰς δὲ ἀμείβει μὲν σὴψ πάνυ πλείστας ὅσας, μεταβάλλεται δὲ τὴν ἰδέαν, καὶ δοκεῖ φαίνεσθαι τοῖς ὁρῶσι χωρίον ἤ τι [τοῦ χωρίου, ἵναπερ ποιεῖται τὴν δίαιταν. τούτων δὲ τῶν θηρίων ὅσοι μὲν συλλίθους 7 τε καὶ ἐρημοτέρους τῶν τόπων νέμονται, ὀλίγοι μέν εἰσι τὸ μέγεθος, ἄγριοι δὲ δεινῶς, τὴν δὲ ὁρμήν εἰσι διάπυροι καὶ συντόνως ὀξεῖς. τὸ δὲ δῆγμα οὐχ οἷόν τε αὐτῶν ποτε μὴ καὶ διαφθείρειν. Ἐπανθεῖ δὲ ἐνίοις ἡ χροιά, τοῖς μὲν ὁποῖον δὴ λίθος, ταῖς δὲ χλωρὸν, οἷον 8 καὶ ὅμοιον ἰῷ, ἄλλοις δὲ οἷον ἡ ἐν ψάμμῳ δίαιτα χρῶμα περιποιεῖ.

Vers. 157 — 189. Ὁρᾷν δὲ ἔξεστι καὶ ταύτην ἀπὸ τοῦ εἴδους σοι τὴν ἀσπίδα καὶ καταμανθάνειν, ὡς τό τε ὄνομα φοινήεσσα ἀπὸ τοῦ σχήματος ἐδέξατο· φοβερά τε γάρ ἐστιν ἥδε, καὶ ὑπὲρ τὰς ἄλλας, καὶ δὴ καὶ ἐγγίσαι ἀνθρώπου σώματι χαλεπὴ πέφυκεν. συνσπειρωμένη τοιγαροῦν καὶ ἄγουσα ἑαυτὴν ἐπὶ τὴν γαστέρα, ἐναντίαν τῷ τάχει ποιεῖται τὴν ὁδόν. μεγίστη δὲ οὖσα νωθής ἐστιν, ἡ κίνησις αὐτῇ γίγνεται μετὰ ῥαθυμίας. βαρυνομένους δὲ ἔοικεν ἔχειν τοὺς ὀφθαλμοὺς ὕπνῳ, καί σφας συμμέμυκεν ὡς τὰ πολλά. ὅταν [δέ] τις κτύπον τινὰ ἄλλως ἢ ψόφον ποιήσῃ, καὶ θεάσηται φῶς ποτε αἰφνιδίως φανὲν, αὐτίκα ὥσπερ καὶ ἐξ ὕπνου διανισταμένην αὐτὴν ὄψει καὶ γοργὸν βλέπουσαν, συνάγουσάν τε αὐτὴν καὶ συνσπειρωμένην, εἶτα ἐκ μέσης τῆς συστροφῆς ὀρθουμένην τε τὴν κεφαλὴν ἴδοις ἂν καὶ ὀργῇ ζέουσαν. Διαφέρει δὲ κατὰ πολὺ οὐ μόνον ἥδε τῷ μεγέθει τῶν ἄλλων ἀσπίδων, ἀλλὰ καὶ τῷ εἴδει. μήκους μὲν γὰρ μέτρον παρέχεται πλέον, ἢ ὅσον ἔχειν μέτρον ὀργυιάτῳ δοκεῖ. τὸ δὲ δὴ

---

7 Goett. σαλένθους.

8 Verba οἷον καὶ ὅμοιον ἰῷ omittit Goett. nec sunt in poeta.

πάχος τῷ ἑαυτῆς πάντως ἀναλογοῦν μήκει θηρῶντος λέοντας καὶ κάπρους τινὸς οἷον ἂν ἴδοις ἀκόντιον τίθει δή. τὴν χροιὰν [οὐχ] ἡ αὐτὴ πάντοτε, ἀλλὰ ὑπαλλάττει, καί ποτε μὲν ποικιλλομένη, ποτὲ δὲ ὡς τέφρα γιγνομένη, καὶ αὖθις μηλινοειδὴς, καὶ ἄλλοτε μελαινομένη, καὶ ἄλλοτε εἰς ὄψιν ἄγει τοὺς ὁρῶντας ἑαυτὴν τῇ χροιᾷ μιμουμένη ζόφον· οἵαν δὲ ὁ Νεῖλος χροιὰν ἐξ Αἰθιοπίας ἔχων ἐπισυρόμενος τὴν γῆν ἔρχεται τὸ ἐντεῦθεν ἐπὶ τὴν θάλασσαν μάλιστα ἐμφερής ἐστιν. ἡ δὲ τοιαύτη 9 τῇ ἰδέᾳ ἔχει δὴ ἔνερθε τοῦ μετώπου σημεῖα δή τινα, οἷον δύο ὀφρύων δυνάμενα διασώζειν σχῆμα· ὑπὸ τούτοις κινουμένους τοῖς τύλοις πυρῶδες ἐστὶν ἰδεῖν τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ γοργὸν βλέποντας. εἰ συσπειρωμένη δὲ ὡς τὰ πολλὰ καὶ μήτ' ἄγαν ἐκτεινομένη, μήτε τὴν σπεῖραν συνηγμένην παντελῶς ἔχουσα, ἀλλ' οἷον εἰκῇ καὶ μετρίως ἀμφοτέρων ἐν ταυτῷ τὸ σχῆμα σώζουσα, εἰς ὕψος αἴρεται μὲν τὸν αὐχένα, ἐνορᾷ δὲ δεινόν τι, καὶ αὔθαδες λίαν· οἰδαινομένη καὶ σπεύδουσα παραδοῦναι τὸν πληγέντα ὑφ' αὐτῆς ἀνημέρῳ μοίρᾳ. Ἔχει δὲ τοὺς ἐξέχοντας ὀδόντας τέσσαρας· κοῖλοι δέ πως εἰσὶν, οἱ δὲ μᾶλλον ἀγκύλοι. ὁ δὲ ἰὸς παράκειται τοῖς ὀδοῦσι ἐγγύς. καλύπτονται δὲ ὅμως οὗτοι καὶ ὅσῳ ζώνη τὸ σχῆμα τοῦτό ἐστιν αὐτοῖς ὑμήν. Οὐκ ἂν διαφύγοι τὸν θάνατόν τι ὅτε ὁ δηχθεὶς ὑπ' αὐτῆς. τοῖς οὖν ἀπηχθημένοις παρ' ἡμῶν ἐμπέσοιεν αἵδε· οὐ γάρ οἷόν τε τὸν ἁλόντα τῷ θηρίῳ ποτὲ τούτῳ οἴδησίν τινα ὑπομεῖναι ἢ φλεγμονῆς ὄγκον, ἀλλ' οἷον οἱ νωθεῖς καὶ κατεσχημένοι 10 ἐκ τοῦ ὕπνου ὀλίγα τῶν ὄντων φροντίζοντες ἐπισύρονται τὴν ἀργίαν καὶ ἀναισθη-

---

9 Editum ταυτη τη ειδεα εχι δε ενερθε.

10 Quae sequuntur ad versum vsque 258. suppleuit Bandini in Catalogo Bibl. Laur. l. c.

ίαν ὑποκλεπτομένην· ἑξῆς ὁρᾷν κατὰ βραχὺ καὶ τούτου τὴν ζωὴν [καὶ] ὑπονοστοῦσαν, καὶ οὐδὲν ἄλλο ἢ ἐξ ὕπνου τῷ θανάτῳ παραδιδόμενοι τὸν ὑπὸ τούτου που δηχθέντα πικρῶς τοῦ θηρίου.

Vers. 190—208. Ἔχουσι μὲν ἀλλήλοις ἀπεχθῶς καὶ ἔρχονται διὰ μάχης ὅτε δεῖ ἰχνεύμων καὶ ἡ ἀσπὶς, ὥστε μὴ μόνον ἀποχωρεῖν ἀνάλωτον ὄντα ὑπ' ἐκείνης αὐτὸν καὶ νενικηκότα, ἀλλὰ καὶ διερευνώμενον ἔρχεσθαι ἐπί τε τὴν εὐνὴν καὶ τοὺς χηραμοὺς τῶν ἀσπίδων, ἵνα δὴ αὗται 1 ἐκεῖναι τὰ ὠὰ τίκτουσιν· εἶτα ἀνατρέπειν τὰ ἐκείνων τοῦτον καὶ διαφθείρειν τοῖς ὀδοῦσι πάντα. Ἡ δὲ μορφὴ τοῦ ἰχνεύμονός ἐστί τις τοιάδε· ἐμφερής ἐστι τῇ ἰκτίδι, παρ' ὅσον ἡ μὲν πολεμίως ἔχειν τοῖς ὀρνέοις δοκεῖ, καὶ ἐπιπηδᾷ πολλάκις μὲν αὐλιζομένοις, πολλάκις δὲ ἁπλῶς τούτοις καὶ ἐπὶ ξύλου καθημένοις καὶ ἐν οἷς τίκτουσι χωρίοις καὶ ἐν οἷς τρέφουσιν ὁμοία 2, καὶ οὐ φυλάττουσι τὰ ἐξ αὐτῶν, ὄλεθρον ἐπάγουσα τοῖς παραφανεῖσι τῶν ὀρνέων. Οὗτος τὴν ἀσπίδα ἣν μόνον θεασάμενος ὁ ἰχνεύμων τύχῃ ἐν τῇ Αἰγύπτῳ ἐν χωρίῳ κατηρεφεῖ τινι, ἵεται ἐπ' αὐτὴν, τὸ μὲν πρῶτον ἁλόμενος κατὰ τοῦ ποταμοῦ ἢ ἰλύος τινός· εἶτα ἐμπεσὼν εἰς αὐτὴν καὶ διαταράξας καθ' ὅλου τοῦ σώματος ἤνεγκε τὸν πηλόν· χρόνον δέ τινα διαλιπὼν, ἕως οὗ περὶ τὴν δορὰν ξηρανθεὶς ὁ πηλὸς ἱκανὸς ὡς γένηται ῥύεσθαι τῶν ὅσα ἐν τῷ ἀγῶνι γένοιτ' ἂν εἰς αὐτὸν ὑπὸ τοῦ θηρίου· κρατήσας δὲ τὸ ἀπὸ τούτου καὶ περιγενόμενος εἰς τέλος τῆς μάχης ἀνέρχεται μὲν οὐδαμῶς, οὐδὲ περιμένει στῆναι εἴσω τοῦ πράγματος, ἐπιπηδήσας δὲ ἅμα βρυγμῷ κατ' αὐτὴν ποτὲ μὲν τῆς κεφα-

---

1 Editum δι' αὐταῖς.

2 Vitiosum vocabulum.

λῆς ὁ ἰχνεύμων, ποτὲ δὲ κατ' αὐτῆς ἐκείνης ἣν τύχῃ τῆς οὐρᾶς ἁρπάσας κατὰ τοῦ ποταμοῦ καὶ ἐμβαλὼν αὐτὴν εἴασε φέρεσθαι.

Vers. 209 — 257. Ἔχιδναι δὲ οὐχ ὅμοιαι πανταχοῦ, οὐδ' ἂν εὕροις αὐτὰς ἴσον ἐχούσας τὸ μέγεθος· αἱ μὲν οὖν ἐν τῇ Ἀσίᾳ μεγάλαι εἰσὶ πάνυ, τὰς δέ γε μικρὰς ἡ Εὐρώπη τρέφει καὶ τῆς Εὐρώπης μάλιστα ὅσα τραχέα ἐστὶ, τὰ τῶν Μεγαρέων ὄρη 3, καὶ ὅσα ἐστὶ δυσπρόσοδα τῆς Αἰτωλίας καὶ χαλεπά. Κολοφῶνος δὲ τῆς ἐν τῇ Ἀσίᾳ τὰ ὄρη τὰς μεγάλας ἔχει. Τούτων δὲ τὸ μὲν μέγεθος ὑπεροργυίαιον, τὸ δὲ εἶδος αἱ θήλειαι αὐτῶν εἰσί που τοιαίδε· τὰς κεφαλὰς πλατείας ἔχουσι, καί εἰσιν ἄλλως παχεῖαι πᾶσαι, τὰς δὲ οὐρὰς σιμωτέρας ἕλκουσι, τὸ δέρμα ὁμοίως πεφολίδωται, τὴν ἰδέαν ταχίστην 4 τὴν κίνησιν βραδίσας ὑπονωθέστεραι, ἔνθα καὶ ἔνθα ἀποκλίνουσαι ἐν ταῖς σφῶν πορείαις· οἱ δὲ ἄῤῥενες μὲν αὐτοὶ οὐχ ὁμοίως παχεῖς, τὸ δὲ μῆκος ἀδιάφοροι, εἰς ὀξὺ λήγουσιν αἱ κεφαλαὶ αὐτῶν, τὰς δὲ οὐρὰς ἐναντίον ταῖς θηλείαις ἕλκουσιν· ἐκεῖναι μὲν παραπλησίας τὰς φολίδας φέρουσι καὶ εἰς τὴν κίνησιν καὶ οἵδε οὐ ταχεῖς· πυρώδεις μέντοι τοὺς ὀφθαλμοὺς καὶ ὕφαιμοι δεινῶς· διπλῆ δὲ ἡ γλῶσσα καὶ προΐσχεται ἥδε ὑπὸ τῶν θηρίων. ὀδόντας δὲ ἔχουσιν ὁ μὲν ἄῤῥην δύο, εἰς δὲ διπλάσιον ἡ [θήλεια·] ὑπὸ δὲ τοῖς οὔλοις αἵδε κρυπτόμενον τὸν ἰὸν ἔχουσιν· ἡνίκα δ' ἂν ἀνθρώπου σώματι προσελθὸν ἅψηται τοῖς ὀδοῦσι, τηνικαῦτα, οὕπερ ἔκρυπτε τὸν ἰὸν τὸ θηρίον τοῦτο, τὸν τόπον καθαρῶς δείκνυσι. Τὴν δὲ ἰδέαν οὐχ ὁμοίαν ὁ ἰὸς τούτων τῶν ἑρπε-

3 Editum μετάρων ἐόρη. Fortasse fuit τραχέα ἐστὶν, οἷον τὰ τῶν Μεγαρέων ὄρη.

4 Haec vitiosa corrigere non possum.

τῶν οὐδὲ τὴν αὐτὴν παρέχεται, ἀλλ' ἐστὶν ὅτὲ μὲν ὑποφαινόμενος ὡς ἔλαιον, ποτὲ δὲ οἷον αἱματώδης, καὶ ἄλλοτε δείκνυσιν ἐν ἑαυτῷ τὴν ἀέρος χροιὰν, καὶ ἄλλοτε δείκνυσιν οὐδεμίαν τούτων. Ὄγκος δὲ γίγνεται, πρῶτον μὲν ἔρευθος πολὺ περὶ τὸ πᾶν σῶμα τοῦ ταύτην ὑπομείναντος τὴν πληγὴν ἀνθρώπου, μετὰ δὲ τοῦτο φοινίσσεται, καὶ ὠχρὸν, εἶτα νεκρῶδες ὑπὸ τοῦ κακοῦ κατασταθὲν, φλυκταίνας τε ἐξηνθηκὸς δείκνυται καὶ φλογώδεις ἐπιλαμβάνουσαι· μετὰ δὲ τὸ ἐν βάθει πλῆθος τοῦ ὑγροῦ συῤῥυὲν ἀναδίδωσιν ἰχῶρας, καὶ ἕλκη πανταχοῦ τοῦ σώματος ἰσχυρὰ σήπεται ἐν τούτοις ἐπινεμομένου τὸ πᾶν καθάπερ πλοὸς τὸ δηχθὲν σῶμα ὑπὸ τῆς ἐχίδνης· λυγμός τε ἐπὶ τούτοις καρτερὸς καὶ ἀπονεύσεις τοῦ αὐχένος γίγνονται καὶ ἐγκλίσεις συχναὶ ἔνθεν καὶ ἔνθεν παρὰ μέρος· ἴλιγγοί τε ὡσαύτως καὶ δυσθυμία καὶ βαρύτης ὁμοίως περί τε τὰ σκέλη πολλὴ καὶ αὐτὴν τὴν ἰξὺν, καρηβαρία τε ὅτι πλείστη καὶ σκοτοδινίαι συνεχεῖς καταλαμβάνουσι τὸν κάμνοντα· καί ποτε μὲν ὑπὸ δίψης οὕτως ὥσπερ φρυγόμενος συνέχεται, πολλάκις δὲ δὴ ῥίγει σφοδρῷ καὶ ἀμηχάνῳ πιέζεται, καὶ οἷον ὕδατος λυποῦντος λίαν αὐτὸν ψυχροῦ οὕτως ἀνιᾶσθαι δοκεῖ· καὶ τὸ ἀπὸ τοῦδε ψυχρότερος αὐτῷ τοῦ κρυστάλλου περιχεῖται ἱδρὼς, καὶ ἔμετοι χολώδεις ἀκριβῶς γίγνονται· χρῶμα δὲ ἀμείβει ἐκ χρώματος, ποτὲ μὲν μέλας ὁ πληγεὶς, ποτὲ δὲ κυανὸς, ἄλλοτε ὡς ἄνθος χαλκοῦ, ἄλλοτε καὶ ὡς ἂν τύχοι φαινόμενος.

Vers. 258 — 281. Ὅμοιον δὲ τὸ εἶδος τῷ ἔχει ὁ κεράστης ἔχει, παρόσον ὁ μὲν αὐτοῖν τυγχάνει κεράτων ἄμοιρος, ὁ δὲ δὴ τοὔνομα ἐδέξατο ἀπὸ τοῦ πράγματος.

Μορφαὶ δὲ τούτων εἰσὶν αὐτῶν ἑρπετῶν δύο. καὶ τῷ μὲν αὐτοῖν τέσσαρα, θατέρῳ δὲ ἀνέχει κέρατα τῆς κεφαλῆς δύο. εἰσὶ δὲ τὴν χροιὰν οἵδε καθάπερ ἡ τέφρα· τῶν ὀδῶν

δέ εἰσιν αἱ τούτων ἐγγὺς διατριβαί. καὶ μὴν καὶ παρὰ τὴν ψάμμον ἡδέως ἔρχονται. διαλλάττει τοίνυν κατὰ πολὺ ὁ κεράστης τοῦ ἔχεως τῇ πορείᾳ ταύτῃ, ὅτι ταχεῖαν μὲν μᾶλλον καὶ κατ' εὐθὺ ὁ ἔχις ποιεῖται τὴν ὁδὸν, ὁ δὲ οὐ μόνον σκολιὰν καὶ τοῖς ἀποκλίσεσι κεχρημένος πλείοσιν βράδιον ἔρχεται ἐφ' ὅ περ ἂν σπεύδῃ, ἀλλ' οἷον ὁλκὰς, ἐπιπεσόντος αὐτῇ ἐναντίου καὶ δυσχεροῦς καθάπαξ πνεύματος, ἐπὶ τὸν ἕτερον τῶν τοίχων πλεῖν ἀνάγκην ἔχει. καὶ ἡ τούτου τὶς πορεία τοιαύτη φαίνεται. τὸ δὲ δῆγμα τοῦ θηρίου τοῦδε πελιδνὸν ποιεῖ τὸν τόπον, καὶ ἐπ' αὐτῷ ὄγκος ἐγείρεται· φλύκταιναι δὲ καὶ μᾶλλον ταῖς ἀπὸ τῶν ὄμβρων παρεοικυῖαι πομφόλυξιν ἐπιγιγνόμεναι τῷ πλήγματι, τὰς ὀδύνας ἀμβλυτέρας παρασκευάζουσι γίγνεσθαι, ἥπερ τὸ δῆγμα τοῦ ἔχεως παρέχειν τοῖς ἐξ αὐτῶν πληγεῖσιν ὀδύνην πέφυκεν. οὐ παρὰ χρῆμα δὲ τοῦ κεράστου τὸ πλῆγμα ἀναιρεῖ, ἀλλὰ καὶ εἰς ἐνάτην ἡμέραν τὸν τρωθέντα ἄγει. βουβῶνες δὲ καὶ ὀσφὺς τοὺς τοιούτους ἐπιτρίβουσι, καὶ λίαν κάμνουσι. δυσθυμίαι τε ἐνοχλοῦσι καὶ τὰ ἀπὸ ταύτης τὸν πάσχοντα συνέχει δυσχερῆ. μόλις τε καὶ δυσχερῶς τὴν ψυχὴν ἀπαλλαττομένην τοῦ σώματός ἐστι θεάσασθαι καὶ θρήνων οὐ μακράν.

Vers. 282—319. Τὸ μὲν δὴ ὄνομα αἱμόῤῥους ἀπὸ τοῦ εἴδους τοῦ κατ' αὐτὸν τὴν προσηγορίαν ἐδέξατο. αὖθις δὲ ἡ κλῆσις παρὰ τοῖς ἐξ αὐτοῦ γιγνομένοις τῶν ἔργων ἔλεγχος γίγνεται. Τὴν μὲν οὖν δίαιταν ποιεῖται καὶ τὰς καταδύσεις ὁ αἱμόῤῥους οὗτος ἐν δαπέδοις τε καὶ τραχέσιν ἱκανῶς χωρίοις θαμνώδεσί τε οὐχ ἥκιστα καὶ ὀρείοις τόποις. ὅμως ἐν τούτοις καταδυόμενος μετὰ κόρον ἀναπαύλης τε ὡς τὰ πολλὰ καὶ ὕπνου λαγχάνει. ἔστι δὲ αὐτῷ τὸ μὲν μῆκος οὐδὲν μᾶλλον ποδὸς, πάχος δὲ ἄρχεται μὲν αὐτῷ εἶναι καὶ

ἐστι τῆς κεφαλῆς ἄπο τοιοῦτος πλησίον, ἀπολεπτύνεται δὲ εἰς τὴν οὐρὰν, καί ἐστιν μύουρος. ἔστι δὲ αὐτοῦ τὸ μὲν χρῶμα οὐκ ἀεὶ μὲν μέλας· ἐστὶν γὰρ ὅτε καὶ φλογώδης γίγνεται. μέσος δὲ ἐπὶ τὸν αὐχένα τῶν κάτω μερῶν εἰς λεπτότητα ἱκανῶς ἀποτελευτῶν. κέρατα δὲ φορεῖ δύο κατὰ τοῦ μετώπου, λεπτὰ μέντοι ταῦτα καὶ ἀφανῆ, καὶ τὰ τῶν ἀκρίδων μιμούμενα. ὁ αὐτὸς δὲ καὶ σχεδὸν κατὰ τοὺς ὀφθαλμοὺς τῇ ἀκρίδι ἐστίν. ὁρᾷ δ' οὖν φοβερὸν, καὶ πῦρ ἐκλάμπουσιν οἱ ὀφθαλμοί· ἄλλως τε καὶ ἡ κεφαλὴ φρικῶδές τί ἐστιν· ὑποκινούμενον γὰρ τὸ κάτω δείκνυσι γένειον καὶ σκιὰν παρέχον ἔν τε τοῖς ἑλιγμοῖς καὶ καμπαῖς, ὁπόταν οἴχεσθαι ἀπιόν που δεήσειεν αὐτό. τὴν μέντοι κίνησιν ὁ αἱμόῤῥους ἐστὶν καθ' ἑαυτὸν βραδὺς καὶ παραπλήσιος τῷ κεράστῃ. διέξεισί γε μὴν ἀψοφητὶ, καὶ οἷον ἐπινεμόμενος τοῖς καλάμων φύλλοις βραχύτατον ψόφον ἀποτελεῖ. ἀλλὰ γὰρ καὶ τὸν τρωθέντα ὑπ' αὐτοῦ συμβαίνει ἐκ παντὸς τοιούτοις ἄρα συσχεθῆναι κακοῖς, καὶ οἵοις ἂν τις περιπεσὼν ποτε οὐκ ἂν διαφύγοι. πρῶτον μὲν γὰρ οἰδαίνεται, μετὰ δὲ οὐ πολὺ τὴν χροιὰν κυανῆν δείκνυσιν. ὀδυνᾶται περὶ τὴν καρδίαν. ὠγκωμένην ἔχει τὴν γαστέρα, αὖθις ἐκκρινομένην αὐτὴν καὶ διαχωροῦσαν. νυκτὸς δὲ ἐπιγενομένης ἔξεισι μὲν αἷμα διὰ ῥινῶν, ἔξεισι δὲ ὁμοίως αὐτοῦ καὶ διὰ τῶν ὠτῶν. φέρεται δὲ καὶ διὰ τοῦ στόματος ὁμοίως αἷμα μεμιγμένον χολῇ. ἀλλά τοι καὶ μετὰ τῶν οὔρων ἀτάκτως καταφερόμενον αἷμα ῥυΐσκεται. καὶ τὸ δέρμα ῥήξεις ὑπομένει, ἔξω χωρεῖν ἐπειγομένου καὶ δι' αὐτῶν τούτων τοῦ αἵματος.

[1] Γένοιτο μὲν δὴ μηδαμῶς πώποτε μηδεὶς τῆς θήλεως

---

1 Haec suppleuit Bandini in Catalogo cum inscriptione: *Περὶ τῆς θήλεως αἱμοῤῥοΐδος.*

αἱμοῤῥοΐδος ὑπὸ τῷ δήγματι, μηδὲ ὑποπεσεῖν ὅλως τινὰ τῇ ταύτης ὑπάρξειεν ἀμηχάνῳ πληγῇ. οὐ γὰρ ἂν μὴ ἀθρόως μὲν τοῦτο παθόντος οἱ ὀδόντες ἀναπεμφθεῖεν πρότερον θραυσθέντες ἀθρόως ὑπὸ τοῦ αἵματος, ῥυήσεται δὲ καὶ δι' αὐτῶν πάμπολυ τῶν ὀνύχων αἷμα. εἰ τοίνυν ἀληθὴς ὁ λόγος ὁ λέγων περὶ τῆς Ἑλένης, οὐκ ἔχω εἰπεῖν, ὅτι, ἡνίκα, φησὶν, ἡ Ἑλένη ἀπηλλάττετο ἐκ τῆς Τροίας, ἐξώσταις χρησαμένης ἀνέμοις τῆς νεὼς, εἶτα καταράσης εἰς Αἴγυπτον, Θῶνις δὲ ἦν τῆς χώρης ταύτης ὁ τότε βασιλεὺς, τὸν κυβερνήτην Κάνωβον ἐξελθόντα τῆς νεὼς ῥαστώνης ἕνεκα δή τινος καὶ ψυχαγωγίας, ἀγνοήσαντα ἐπιπεσεῖν τότε δὴ θηρίῳ τοιούτῳ. τὸ δὲ θηρίον ἐκεῖνο ἐπειδὴ παρὰ τοῦ Κανώβου προσθλιβὲν ᾔσθετο, προσαψάμενον τοῖς ὀδοῦσιν αὐτοῦ τῷ σώματι τὸν ἰὸν ἐγχέει. ὁ μὲν οὖν Κάνωβος αὐτόθι καὶ παραχρῆμα ἀπόλλυται ὑπὸ τοῦ θηρίου. αἱμόῤῥους δὲ ἡ θήλεια τῇ Ἑλένῃ δίκην οὐ μεμπτὴν ὑπίσχει. θραύεται τοιγαροῦν ὑπ' αὐτῆς πληγεῖσα τῆς ἀκάνθης μέσον. εἶτα τῶν συνεχόντων δεσμῶν διαῤῥαγέντων τῆς ῥάχεως καὶ οἷον διαιρεθείσης μέσης καὶ διακλασθείσης, τὸ ἀπ' ἐκείνου μετὰ ταῦτα δέδωκεν ἡ φύσις τοῖς ἑρπετοῖς τούτοις τοῦ πάθους τὴν μνήμην διασώζειν. Οὐκ ἂν οὖν μὴ ἴδοις τήν τε αἱμόῤῥουν καὶ κεράστην χωλεύοντάς τε τὸ καθ' αὐτοὺς καὶ τοῦ κινεῖσθαι δίκαια ἀπεστερημένους.

Vers. 320—333. Παρέοικεν δὲ ὁ σηπεδὼν ἄλλο μὲν οὐδὲν τῇ αἱμόῤῥῳ, τὸ δὲ εἶδος μόνον. τὰ μέντοι ἄλλα οὐχ ὁ αὐτός ἐστιν. ἔοικεν γὰρ οὗτος ἐν μὲν ταῖς πορείαις προσπταίοντι, κατὰ παντὸς δὲ παρέχεται τοῦ σώματος τρίχας. ναὶ μὴν ἀλλὰ καὶ τάπητος εὐανθοῦς ὅδε που δείκνυσι τὴν χροιὰν, καὶ τοῦ μετρίου μείζονα μὲν τὴν κεφαλὴν φορεῖ, ἀποδέουσαν δὲ τοῦ λοιποῦ σώματος, καὶ σκολιὰν ἄλλως ἐφέλ-

εται οὐράν. ὁ μὲν δὴ δηχθεὶς ὑπ' αὐτοῦ πρὸς τῷ λίαν αὐὸν ὀδυνᾶσθαι, οὐδὲ τὸν θάνατον διαφεύγει, νέμεται δὲ ὁ ὸς τούτου καὶ κομιδῇ χωρεῖ κατὰ παντὸς τοῦ πληγέντος ὑπ' ὐτοῦ σώματος περιρύεται. ἰσχναίνεται δὲ αὐανθεῖσα καθάπερ ἐκ πυρὸς ἡ κεφαλὴ τῶν ἐν αὐτῇ τριχῶν, ὥστε μηδὲν ἐπεοικέναι δοκεῖν μαρανθεῖσι τῷ γήρᾳ ἀκανθῶν ἄνθεσιν. ἀλλὰ μὴν καὶ τὰς τῶν ὀφρύων αὐτῶν τρίχας καὶ τὰς τῶν βλεφάρων ἁλισκομένας τῷ κακῷ καὶ μαραινομένας ἐν ταὐτῷ ἔσται σοι θεᾶσθαι. μέλη δὲ ἐκεῖνα τοῦ δηχθέντος τριχῶν ἔρημα γιγνόμενα λέπραν καὶ ἔφηλιν καὶ ἀλφοὺς ταῦτ' ἕξει ἐπακολουθοῦντα.

Vers. 334—358. Τῇ ἐχίδνῃ κατὰ πολλὰ ἔοικεν ἡ διψὰς, τὸ μὲν μῆκος ἔχουσα ἐκείνης ἔλασσον, ἐνεργοτέρα δὲ ἀποκτεῖναι ὡς ὅτι μάλιστα ὑφ' ἑαυτῆς τὸν πληγέντα θᾶττον. ἔχει δὲ τὴν μὲν οὐρὰν μελαινομένην ἀκριβῶς ἤδε κατ' αὐτὴν τὴν ἄκραν, τὸ δὲ δῆγμα αὐτῆς δεινῶς αἴθει τὴν καρδίαν, καὶ ἐντεῦθεν ἄρχεται τὸ κακὸν, καὶ μεταδίδωσι τῷ παντὶ δηλαδὴ σώματι. Γίγνεται δὲ ἀμήχανος περί τε τὸ στόμα καὶ τὰ χείλη αὐτμὸς 1 τοῦ τρωθέντος λίαν. ἰάσασθαί τε τὸν πόνον τὸν ἀπὸ τοῦ δίψους ἐπιτιθέμενον αὐτῷ οὐχ οἷός τέ ἐστιν τοῦ λοιποῦ, οὐδὲ μὴν τὴν ταλαιπωρίαν. Ἀπαγορεύων γοῦν τοῖς παροῦσι, καὶ οὐκ ἔχων ὅτῳ 2 καὶ χρήσεται, ἐλθὼν ἐπὶ πηγήν τινα ἢ αὐτοῦ φρέατος πλησίον ταῦρος ὥς τις διψῶν καὶ οὗτος ἔρχεται ἐπὶ τὸν ποταμὸν, εἶτα ἀπλήστως ἔχων τοῦ ὕδατος τούτου, ἐμφορεῖται πολλοῦ, καὶ οὐκ ἀνίησιν εἰς τοσοῦτον, ἐς ὅσον οὖν, τῆς γαστρὸς ῥαγείσης, ἔξω τὰ ἐν αὐτῇ πάντα μετὰ τοῦ ὕδατος ἐνεχθείη. φέρεται γε μὴν κατ' ἀνθρώπους τοιόσδε τὶς λόγος, ὅτι, ὁπηνίκα,

1 An αὔσμός a verbo αὔω? 2 An ὅ τι?

φησὶν, διενείματο ὁ Ζεὺς τὴν ἀρχὴν μετὰ τῶν ἀδελφῶν, καὶ εἶχεν ἕκαστος τὴν ἑαυτοῦ, Διΐ δὲ ἔμελεν τοῦ οὐρανοῦ καὶ ἐβασίλευεν, δόξαν δὲ οὕτω, τοὺς ἀνθρώπους αὐτῷ τῆς νεότητος ἐσέμνυνεν περιφανῶς δώρῳ, ὅτι αὐτῷ κατεμήνυσαν τὴν κλοπὴν τοῦ πυρός. ἀλλ' οἱ μὲν τὴν νεότητα ἐκ Διὸς λαβόντες, ἵνα αὐτῇ χρῷντο, ἀβουλίας τε καὶ ἀφροσύνης ἔργον ἐργάσαντο. οὐ γὰρ δὴ μὴ μεθέντες ἀπώναντο αὐτῆς. ἐπισάξαντες δὲ ὄνον, ἐπέθεσαν αὐτήν. μετὰ δὲ οὗτος μὲν ἀπῄει τὴν ὁδὸν ὁ ὄνος· καταλαμβανόμενος δὲ ὑπὸ δίψης πικρῶς, καὶ πνευστιῶν λίαν ἔρχεται ἐπὶ τὸν φωλεὸν, ὡς ὁ λόγος, τότε τοῦ θηρίου τούτου· ἐκ Νυμφῶν δὲ ἦν ἐπιτραπὲν τοῦτο, κρήνης εἶναι φύλαξ· ἐδεῖτο οὖν ἐλθὼν εὐθέως τοῦ θηρίου τούτου, ἄκεσιν παρ' αὐτοῦ δέξασθαι τῶν λυπούντων αὐτὸν καὶ ἀπαλλαγῆναι. ὑπισχνεῖται παρέξειν ταῦτα τὸ θηρίον, ἢν καὶ [ὁ] ὄνος ἀφ' ὧνπερ ἔχων ἔρχεται φορτίων παρασχεῖν βουληθῇ. καὶ διὰ τοῦτο ἐξ ἐκείνου τὰ μὲν θηρία ἀποτιθέμενα τὸ γῆρας αὖθις ἐπανέρχεται εἰς τὴν νεότητα, τὸ δὲ τῶν ἀνθρώπων ἐπίκηρον γένος ἀνέχεται περιμένον τὰ τοῦ γήρως κακὰ, οὐδὲ ἀποξύσασθαι δύναται. ἐντεῦθεν μὲν οὖν τὸ διψῆν τούτῳ προσετέθη, καὶ καλεῖται διψὰς τὸ θηρίον, θάνατον δὲ ὀξύτερον ἐπάγει οἷς ἂν ὑπάρξειεν πληγῆναι παρ' αὐτοῦ, ὅτι καὶ φλέγεσθαι ὑπὸ δίψης τοὺς τρωθέντας ποιεῖ.

Vers. 359—371. *Οὐδὲν ὁ χέρσυδρος ἀπεοικέναι δοκεῖ* τὸ εἶδος ἀσπίδος, οὐδὲ οὐκ ἀναπίμπλησι τὸ σῶμα δυσχερείας τινὸς, ἣν προσψαύσῃ μόνον τοῖς ὀδοῦσι. πρῶτον μὲν γὰρ βαρυτάτη τις ὀδμὴ καὶ δυσώδης λίαν αὐτοῦ διὰ παντὸς χωρεῖ, ἔπειτα διὰ τοῦ βάθους ἰόντος τοῦ δεινοῦ καὶ ὡς ὅτι μάλιστα τραπόντος 3, ἴσχουσί τε ἀλγηδόνες τὸν πληγέντα

3 Editum τρεποντος.

ἄπαυστοι, συχναί τε ἐπὶ τούτοις ζέσεις καὶ φλύκταιναι ἐπὶ παντὶ φύονται 4. γίγνεται δὲ τῷ χερσύδρῳ τούτῳ δίαιτα πρῶτα μὲν ἐν λίμνῃ, ποιουμένῳ τοὺς ἐν ταύτῃ σῖτον βατράχους 5. μετὰ δὲ ταῦτα ξηρανθείσης ὡς ἐν θέρει τῆς λίμνης ὑπὸ τοῦ ἡλίου, καὶ σφόδρα φρυγείσης, ἔρχεται ἐπὶ τὴν ἐν χέρσῳ μονὴν αὐτίκα, καὶ ποιεῖ δίαιταν, αὑαινόμενος μὲν λίαν ὑπὸ τοῦ ἡλίου, διψῶν δὲ καὶ δυσφορούμενος εἴσω τὴν γλῶτταν τῶν γνάθων ἔχειν οὐχ οἷός τέ ἐστιν, ὑποδείκνυσι δὲ ὡς φοβερὸν, τοτὲ μὲν προβεβλημένην ἔχων αὐτὴν, τοτὲ δὲ οὐκ ἔχων, καὶ πάλιν ὑποκινουμένην καὶ ἄλλοτε ὑπερκύπτουσαν τοῦ δέοντος πλέον. ἔλαχεν δὲ ἄρα αὐτῷ καλεῖσθαι χερσύδρῳ, ὅτι καταλιπὼν ἐκείνας τὰς ἐν τῷ ὕδατι διατριβὰς ἀντηλλάξατο καὶ ἔχει τὸ τῆς γῆς χωρίον. ἕνεκα δὲ τῆς χροιᾶς φαυλότατός ἐστι πρὸς τοῖς ἄλλοις.

Καὶ τὸ μέγεθος ἔλασσον καὶ τὴν κίνησιν βραδυτέραν τὴν ἀμφίσβαιναν τοῦ χερσύδρου ὡς ἐστι μάνθανε. καλεῖται δέ γε ἀμφίσβαινα, καὶ ταύτην ὀνομάζεσθαι ἀπὸ τοῦ πράγματος μὴ παραιτοῦ, ὅτι κατ' ἀμφοτέρας κεφαλάς ἐστιν ὁρᾶν ἕρπουσαν. διέστηκε δὲ ἡ ἑτέρα τῆς ἑτέρας κεφαλὴ τοσοῦτον, ὅσονπερ τὸ μῆκος τοῦ θηρίου. ὀξὺ δὲ ὁρᾷ οὐδετέρα αὐτῶν, ἀλλ' ἀμαυρὸν καὶ ἀσθενὲς τοῖς ὀφθαλμοῖς βλέπει, ἔχει δὲ ἰσχυρὸν μὲν δέρμα, γῇ δὲ παρέοικεν, καί ἐστι πᾶν ἄλλως κατάστικτον. τοῦτο δ' οὖν τὸ δέρμα κατὰ τὴν ὥραν τοῦ ἔαρος, ὁπηνίκα τὸ θηρίον τοῦτο προκύπτειν ἄρχεται τοῦ φωλεοῦ καί ἐστιν ὑποτεθραμμένον πρὶν ἢ τὸ τεττίγων γένος λαλεῖν ἐπιτραπὲν ἄρξηται μετὰ τὸν χειμῶνα· ἣν βουληθῇς τοῦτο ἀποδείρας ἔχειν, κοτίνου κλάδους λάμβανε, εἶτα

---

4 Editum φλυονται.

5 Editum ταυτησι βατραχους.

ἐπάγων τῷ θηρίῳ τούτῳ πληγὰς οὕτως ἀπόδερε· οὐ γὰρ μὴ ἔσται ποτὲ ὁ διαφυλάττων αὐτὸ ἐνδεὴς οὐδ᾽ ἀποτυγχάνων βοηθείας, ὁπόταν ὑπὸ χειμῶνος τὰς χεῖρας κακῶς ἢ τὰ νεῦρα ἔχων τις ἐκ τοιαύτης νόσου διατεθῇ.

Vers. 384 — 394. Ἔστι δὲ ἡ αὐτὴ καὶ παραπλησία τὴν ἰδέαν ἡ σκυτάλη τῇ ἀμφισβαίνῃ, ἀλλ᾽ οὖν τῷ τε ὄγκῳ διαλλάττει καὶ μήκει τοσοῦτον ἐκείνης, ὁπόσον δικέλλης στελειᾶς πάχος πλέον ἢ σμινύης ἔχει, ἢ καὶ τῶν ἐν τοῖς διύγροις τρεφομένων χωρίοις κατὰ γῆς εὐλέων 6· ἔντερα γῆς, οἶμαι, οἱ πολλοὶ καλοῦσιν. αὕτη τοίνυν αὐτὴ ἡ σκυτάλη, ἐξελθόντος μὲν ἤδη καὶ διαδραμόντος τοῦ χειμῶνος, ἐπιλάμψαντος δὲ τοῦ ἔαρος, τῆς ἐπὶ τὸ μάραθρον ῥαθυμεῖ πορείας οὐδ᾽ ἀφικνεῖται πλησίον ἐπίτηδες αὐτοῦ, ἵν᾽ ὥσπερ καὶ αὐτὴ τὰ λοιπὰ θηρία τοῖς ἀκρέμοσι 7 τὸ γῆρας ἐπαποδύσηται, ἀλλ᾽ ἐπιχωρεῖ τοῖς ἀγρίοις καὶ δυσβάτοις τόποις ὕπνον αἱρουμένη καὶ τῇ τυχούσῃ γῇ χρωμένη διὰ τροφῆς χάριν. ἕνεκα δὲ τοῦ πιεῖν, οὐδ᾽ ἂν πάνυ δίψῃ συνέχηται, ἐφ᾽ ὕδωρ ἔρχεται.

Vers. 396 — 410. Οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ σοι τοῦ βασιλέως τῶν ἑρπετῶν πέρι ἐθέλω διελθεῖν, καὶ ὡς τὸ μὲν ἰδεῖν αὐτὸν βραχύτατός ἐστιν, ὑπεραίρει δὲ τῇ δυνάμει. τῶν ἄλλων οὗτος καὶ ἰσχύει πλέον. ξανθὸς μὲν οὖν ἐστι τὴν ἰδέαν, τὴν μέντοι κεφαλὴν ὀξυτέραν φορεῖ, μῆκος δὲ περί που παρέχεται παλαιστῶν ἐννέα. τὴν σπεῖραν οὐκ ἔστι συνηγμένος, ἀλλὰ ἐφήπλωται διὰ παντός. φοβερὸς δὲ δοκεῖ τοῖς ἄλλοις εἶναί πως καί ἐστιν ἑρπετοῖς· οὐκ ἂν ὑπομείνειεν αὐτοῦ τῆς φωνῆς τὸν ἦχον ἐπὶ νομὴν ἢ ποτὸν ἄλλως παραγιγνομένου ἢ αὖθις ἐπανερχομένου εἰς κοίτην περὶ μεσημβρίαν, ἀλλ᾽ ἐπὶ φυγὴν τὰ θηρία, ἢν μόνον ἀκούσῃ τῆς φω-

6 Legi potest etiam ευδεων. B. 7 Editum ἀκραίμου.

νῆς ἐκείνου, παρ' αὐτὰ τρέφεται. τρώσας δὲ ἥν τινα καὶ τύχῃ ὃ δε [ὃν] ὀνομάζουσι βασιλίσκον, ἀποῤῥεῖν μὲν τὰς σάρκας, διαλύεσθαι δὲ καὶ τὰ μέλη τοῦ τρωθέντος ποιεῖ. οὐκοῦν οὐδὲ παρ' ὀρνίθων ἴδοις ἂν τουτονὶ τὸν νεκρὸν κατεσθιόμενον, οὐδὲ ὑπὸ κυνῶν ἐσαῦθις, οὐδὲ ὑπ' ἄλλων ἑλκόμενον ἀγρίων καὶ σπαραττόμενον θηρίων, ἐπεὶ πονηρὸν τὸ σῶμα καὶ δυσχερὲς λίαν ἀποπνεῖ αὐτὸ δὴ τοῦτο τοῖς πλησιάζουσι προσετέθη 8. ἢν δὲ καταληφθεὶς ὑπ' ἀνάγκης τινὸς οἰωνὸς οἷον μὲν ἢ κύων τῷ νεκρῷ τούτῳ προσελθών τις ἀπ' αὐτοῦ τυχῃ καὶ μετάσχῃ βορᾶς, αὐτοῦ που κείσεται παραχρῆμα, καὶ παρὰ τὸν νεκρὸν ἐλθὼν ὁ τοιοῦτος νεκρός.

Vers. 411 — 437. Τὸν μέντοι δρυΐναν ἐπίστω σαφῶς οὕτως ἔτι μὴν καὶ τὴν τούτου φύσιν. χέλυδρον 9 μὲν γὰρ αὐτὸν οἱ πολλοὶ καλοῦσιν, ὅτι ἀπολιπὼν τοὺς ὑδρηλοὺς καὶ λιμνώδεις τόπους, παρ' οἷς ἐποιεῖτο τὴν δίαιταν, ἐπὶ τοὺς ξηροὺς ἔρχεται καὶ αὐχμώδεις λίαν· μετὰ δὲ ἕτεροι δρυΐναν τὸν αὐτὸν λέγουσι, διότι καὶ ταύτης ὑπεριδὼν, ἥσπερ ἐτύγχανεν ἑλόμενος ἐν ταῖς ἐσχατιαῖς καὶ τοῖς ἄλλοις τόποις τραχυτέροις οὗτος δίαιταν καὶ μονὴν, διωκόμενος ὑπὸ οἴστρου καὶ κεντούμενος ἐπί τε τὰς δρῦς καταφεύγων ἔρχεται, καὶ ἐπὶ τὰς φηγοὺς, καὶ χρῆται τούτοις πρὸς οἴκησιν, ὃν τρόπον χρῆται καὶ ταῖς θάμνοις πρὸς τὸ ἐγκαθεύδειν. ὕδρῳ δὲ ἐοικὼς τὸ καθαρὸν, καὶ ἐπὶ τοῦ νώτου τὸ μέλας εἶναι ὥσπερ ἐκεῖνος διασώζων, τραχυτέραν ἔχει τὴν κεφαλήν. ὀδμὴν δὲ βαρεῖαν ἱκανῶς καὶ ἀνυπόστατον τὸ πᾶν αὐτοῦ σῶμα παρέχεται, καὶ οἷον ἢ ἵππου δορὰ ἐξόζει χαλεπὸν σαπεῖσα καὶ δυσανάσχετον, ὁπόταν ταῖς τῶν σκυτοδεψῶν πα-

8 Verbum hoc abundare videtur.

9 Editum χερσυδρον.

ραδοθῇ χερσὶν σῆψιν ὑπομείνασα πολλὴν καὶ διαμύδησιν, τοιοῦτον οἱ πληγέντες ὑπὸ τοῦ δρυΐνα ἢ κατ' αὐτῆς οἷον τῆς ἀγκύλης ἢ τοῦ ποδὸς κάτω χαλεπὴν οἷον καὶ μοχθηρὰν διὰ παντὸς ἄγουσι τοῦ σώματος πνοήν. καὶ περὶ μὲν τὸ τετρωμένον μέρος ὑπὸ τοῦ θηρίου ὄγκος ἀμήχανος ἐγείρεται, ἔρευθός γε μὴν οὐκ ἔτι οὐδὲ αἱματῶδές τι ἐπανθεῖ τῇ χροιᾷ, ἀλλὰ μελαίνεται. παραφροσύνη τοίνυν ἐπὶ τούτοις, καὶ σφόδρα τῆς φωνῆς παράλυσις ἐπιλαμβάνει τὸν πάσχοντα· αἵ τε γὰρ ὀδύναι συνέχουσι, καὶ ἐπὶ ταύταις τὰ δυσχερῆ ἐν ὀφθαλμοῖς τυγχάνοντα τῆς κακοπαθείας αἴτια γίγνεται παντάπασι τῆς παραφροσύνης· ξηρότης τε οὖν οὐκ ὀλίγη αὐτῷ γίνεται τῇ ἀπὸ τῶν ὀδυνῶν κακι.... (κακότητι?) περὶ τὴν ἐπίφανειαν 10, καὶ σῆψις τῶν σαρκῶν ταχεῖα καὶ ἀκμάζουσα, νεμομένου κατὰ ταὐτὰ πανταχῇ τοῦ ἰοῦ, ἐξ ἀνάγκης ἐπιλαμβάνει. ὀλιγωρίαι τε ὡς πλεῖσται καὶ σκότος φέρεται κατ' ὀφθαλμῶν, χάσμη τε πρὸς τούτοις καὶ βαρύτης ἀλλήλοις ἐπισυμβαίνοντα τὴν τῶν οὔρων ἐποχὴν ἐργάζεται σφόδρα. ὕπνος τε ἅμα τῷ ῥέγχειν καὶ λυγμὸς καρτερὸς ἐπισυναφθέντα πρὸς τῷ ποτε μὲν χολώδεις ποτὲ δὲ αἱματώδεις ἐμέτους γίγνεσθαι. δίψα δὲ ἀμήχανος καὶ τρόμος ἰσχυρὸς ἐπ' αὐτὸν ὕστερον ἐνελθόντα κομιδῇ πονηρὸν αὐτῷ κατασκευάζουσι τὸν θάνατον.

Vers. 438—457. Ἔσει τοίνυν ἠγνοηκὼς οὐδὲ τὸν δράκοντα τὸ κατά σε, οὐδέ σε λήσεται, ἢν προσίδῃς μόνον αὐτὸν, ἀπὸ τοῦ σχήματος. τὸ μὲν οὖν μῆκος τῷ θηρίῳ εἰς πλῆθος ἐξῆπται, τὴν δὲ χροιὰν ἀνθοῦσαν δείκνυσι κυάνου. ἐν Ἀσκληπίου τετράφθαι λέγεται τουτονὶ παρὰ τὸ Πήλιον.

---

10 Ver' αὐτῷ γίνεται — ἐπιφάνειαν e Goett. libro accesserunt.

Πελεθρόνιον μέντοι τὸν τόπον τοῦτον οἱ ταύτῃ καλοῦσιν· καὶ δρύες περιεστᾶσι πλῆθος αὐτὸν πολὺ, καί ἐστιν ὁ τόπος κατηρεφὴς, οὗπερ τὸν δράκοντα τῆς κομιδῆς τοῦτον ἠξιῶσθαι λόγος. ἱλαρός ἐστιν ἄλλως καὶ γαυρειᾷν δοκεῖ. καὶ τρίστοιχοι μέν εἰσιν οἱ ὀδόντες αὐτῷ, ὀφθαλμοὶ δὲ ἱλαρὸν βλέπουσι. καὶ ὁ πώγων ἐπανθεῖ τοῦ χρυσοῦ. ὅντινα δ' ἂν κατεπελθὼν οὗτός ποτε γένηται, τοῦ πλῆξαι, κἂν ὀργῆς ὢν τύχῃ ἀνάπλεως, λυμαίνεται οὐδὲν, ἢ τοσοῦτον μόνον εἰς ὀδύνην ὑπ' αὐτοῦ τὸν πληγέντα ἄγει, εἰς ὅσηνπερ ἂν καὶ μῦς ἐκεῖνον ἐνδάκνων ἤνεγκεν, καὶ αἵματος φορὰν τοσαύτην, ὅσηνπερ ἂν ἐκ τοῦ τραυματος τοῦ παρ' ἐκείνου συμβὰν οὕτως ἐπακολουθήσῃ.

Ἔστι γε μὴν ἐχθρὸς τῷ ἀετῷ, καὶ μισεῖται λίαν, ὅτι αὐτοῦ διαφθείρειν οὐκ ἀπέχεται τὰ ἔγγονα, ἀλλ' ἐπὶ τὴν καλιὰν ἐλθὼν ἐπιτίθεται μὲν, ἢν τύχῃ, τοῖς ᾠοῖς, ἐπιτίθεται δὲ τοῖς νεοττοῖς, πλημμελείας εἶδος ἀφιεὶς οὐδὲν καὶ [1] κατεσθίει. πολλάκις δὲ καὶ αὐτῷ ἐκείνῳ τῷ ἀετῷ ἔχοντι θήραν λαγωοῦ ἢ βορὰν προβάτου τιθεμένῳ ποθὲν, ἐξερπύσας ἔπεισιν ὁ δράκων. ὁ δὲ ἐσθίειν μὲν ἐπελθόντος οὐκέτ' ἀνέχεται, τρέπονται δὲ ἐπ' ἀλλήλους οἵδε καὶ διαμένουσι μαχόμενοι, προκειμένης ἀμφοτέροις τῆς θοίνης εἰς φιλονικίαν. ἐπιλαμβάνεσθαι δὲ περιϊπταμένου τοῦ ἀετοῦ, ἀράμενος ὁ δράκων τὴν κεφαλὴν ἄνω, περιβλέπων πανταχοῦ, πρόθυμος γίγνεται, καὶ ὁρμᾷ δράττεσθαι.

Vers. 458—482. Οἱ τὴν Λῆμνον ἐπιστάμενοι, νῆσος δέ ἐστιν ἡ Λῆμνος, ἀνακειμένη τῷ Ἡφαίστῳ, καὶ τὴν δυσχείμερον Σαμοθράκην, ἀνέχουσι δὲ αὗται μὲν ἐκ τοῦ προ-

---

1 Editum ουδενὶ τα κατεσθιει.

κειμένου πελάγους τῆς Θράκης κατ' αἰτὰ τῆς Αἴνου ιε......[2] και.... τὴν τῆς Ἥρας λέγουσι. ποταμὰς μέντοι ταύτην διαῤῥεῖ τὴν Αἶνον, καί ἐστιν ὄνομα τῷ ποταμῷ Ἕβρος. ἔστι δὲ δὴ καὶ Ζωναῖον ὄρος[3] καλούμενον· ἔνθα Ὀρφεὺς ἐκιθάριζεν, κα.... εν ἄντρον ἡ Ἑκάτη, καὶ οἱ γιγνώσκοντες τὰ χωρία οὐχ ἥκιστα ἐπίστανται τοῦτο τὸ θηρίον, ὅτι ποτὲ ἐστὶν ὁ κεγχρίνας. ἐν γὰρ θερμοτάτοις τὰς νομὰς τοῖς τόποις ποιεῖται. προσετέθη δ' οὖν τῷ αὐτῷ ὄνομα ἑρπετῷ, καὶ καλεῖται λέων, ὅτι τῶν ἄλλων οὗτος ἔοικεν ἑρπετῶν διενηνοχέναι μὴ μόνον τάχει καὶ μεγέθει, ἀλλὰ καὶ αὐτῷ τῷ εἴδει καὶ αὐτῇ ἰσχύϊ. ἕπεται τοίνυν τῷ πληγέντι αὐτίκα δὴ καὶ παρὰ χρῆμα τὸ σῶμα τρέπεσθαι, ἰόντος τε εἰς βάθος τοῦ ἰοῦ, καὶ τὸ πᾶν ἐπινεμομένου, ὕδερόν τε εὐθὺς ἐπιλαμβάνειν τὴν γαστέρα, βαρείας τε ἀλγηδόνας ἐξ αὐτῆς γίγνεσθαι, καὶ τὸν θάνατον ἥκειν καὶ διαλύσεσθαι. ναὶ μὴν ἀλλὰ καὶ καύματος ὄντος σφοδροῦ, ἱσταμένου θέρους, πιεζόμενος ὑπὸ λιμοῦ ἀνὰ τὰ ὄρη πορεύεται ζητῶν ἐξ αἰγῶν ἢ προβάτων αὐτῷ τινα πορίσασθαι τροφήν. οἱ δὲ ἡγούμενοι τῶν προβάτων τυγχάνουσι ψυχάζοντες περὶ μεσημβρίαν ὑπήνεμον γάρ τι χωρίον ἐξευρόντες οἴδε, καὶ σκιὰν παρέχειν ὁπόταν ᾖ καῦμα δυνάμενον τὴν ἀπὸ τῶν φυτῶν, ὀλίγον ἀποστήσαντες τῆς νομῆς τὰ κτήνη ἐνταῦθ' ἀπαγαγόντες προσαναπαύουσιν. ταῦτα μὲν οὖν περὶ Λῆμνον καὶ τὴν Σαμοθράκην ὁ κεγχρίνας ἀπεργάζεται ἐπιὼν καὶ λυμαινόμενος τοῖς ἐκεῖ θρέμμασι. μηδεὶς δὲ οὕτως ἔστω θρασὺς

---

2 Sex heic circiter litterae videntur deesse, cum ipsa pergameni particula abscissae. In sequentibus vero lacunis scias totidem videri litteras abesse, quot ibi puncta apposuimus. *Bandini.*

3 Editum ζωνεον ο..λος.

μηδὲ μὴν ἄοκνος ἐκ λογισμοῦ, ὅστις ἐναντίος ἐλθὼν ποτε βουληθῆναι ἔχει τῷ θηρίῳ τούτῳ χωρῆσαι πρὸς μάχην, ὀῤῥωδῶν 4 μὴ οὐ πρῶτον μὲν ἐξ αὐτῆς τῆς θέας, ἔπειτα μέντοι καὶ τῆς ἄλλης αὐτοῦ μανίας τε ἅμα καὶ θρασύτητος τοῦ θηρίου καταληφθεὶς ἁλῷ. μετὰ ταῦτα δὲ περιπλακεὶς οἷον αὐτίκα ὑπ' αὐτοῦ που καὶ περιειληθεὶς μυζηθείς τε ἅμα καὶ χωρήσας ὅλος διὰ τοῦ στόματος καταποθῇ. ἀλλ' οὐ χρὴ τὰ δεινὰ περιμένειν, ἀπαλλαττόμενον δὲ ἅμα ταχύτητι τοῦ κινδύνου, τὴν μὲν κατ' ἰθὺ πορείαν λαμβάνειν οὐδαμῶς συμφέρον, ἐκτρέπεσθαι δ... υτην ὠφελιμώτατον ὡς τὰ πολλὰ, καί ποτε μὲν χρὴ βαδίζειν τὴν ἐπὶ δεξιὰν, ποτὲ δὲ τὴν ἐπὶ θάτερα ἀποκλίνειν μέρη [διε]ξόδους τε καὶ ὑποστροφὰς ποιούμενος συνεχεῖς καὶ ἐπαναζεύξεις, παραιρούμενος εὑρεθήσει τοῦτον δὴ τῆς ὁρμῆς τὸν θῆρα. ταχύτατος γὰρ ὢν τὸ κατ' εὐθὺ ἐν ταῖς τῶν κάμψεων περιστροφαῖς εὑρίσκεται βραδύς. ὀδυνώμενος γοῦν τοὺς σφονδύλους καὶ αὐτὴν ἅπασαν τὴν ἄκανθαν ἐλαττοῖ τοῦ δρόμου. τοιοῦτον ἄρα τὸν κεγχρίναν τοῦτον εἶναι αἱ πρὸς Θράκην νῆσοι παρέχονται.

Vers. 483—492. Ἔστι μὲν ταπεινὸς τὴν πρόσοψιν ὁ ἀσκαλαβώτης, τὸ δὲ δῆγμα οὐκ ἔστι ταπεινός. διαγγέλλει δὲ ἡ φήμη περὶ αὐτοῦ ταῦτα, ὅτι ἡ Δημήτηρ ἀχθεσθεῖσα αὐτῷ δεινῶς ἐνεμέσησε καὶ ἀμυνομένη. Τριπτόλεμον γὰρ δὴ τὸν ἐκ Μετανείρας γενόμενον, ᾗ οἴνη θεραπαινὶς τοῦ καλλιχόρου πλησίον ἐλθὼν ἐν τῇ Ἐλευσῖνι παρ' αὐτὸ τὸ φρέαρ ὁ ἀσκαλαβώτης, ὡς ὁ λόγος, τὸν Τριπτόλεμον λέγει ἐνταῦθα ἔπληξεν. Ἔστι μὴν ἑρπετῶν γένη ἄλλων καὶ ἄλλων;

---

4 Editio primam litteram tantum verbi posuit?

πλὴν ἧσσον ἔτι πονηρῶν καὶ λίαν ἀβλαβῶν. χωρίοις δὲ ἐνδιαιτᾶται διαφόροις ὄντα διάφορα. ἔχει δὲ προσηγορίας τὰ γένη καὶ καλεῖται ἀπ' αὐτῶν· ἔλοπες τοίνυν οἱ μὲν αὐτῶν καὶ ἄλλοι λίβυες κέκληνται, μυοθῆραί τε ἐπὶ τούτοις ἄλλοι καὶ οἱ τὴν κλῆσιν ἔχοντες ἀπὸ τοῦ πράγματος ἀκοντίαι, καὶ μόλουροί εἰσιν ἕτεροι καὶ τυφλῖναι ἄλλοι.

Vers. 493—508. Ἀλλὰ καὶ βοτανῶν αὐτίκα καὶ ῥιζῶν τοι πέρι καὶ τῆς ἀπ' αὐτῶν δὴ τούτων ποριζομένης ὠφελείας, οὐ μὴν ἀλλὰ καὶ τῆς ὥρας, καθ' ἣν δεῖ λαμβάνειν τὰς βοτάνας, ἑτοίμως ἀφηγήσομαί σοι καὶ σὺν ἀκριβείᾳ, ἵν', ἐάν ποτέ τινος ὅλως τὸ σῶμα βουληθῇς ἢ πληγῇ κατεσχημένον ἢ ἄλλως ὀδύνῃ παραμυθήσασθαι βαρούμενον ἤ του ἐκσώζειν, διὰ τούτων δύναμίς σοι παρῇ. χρὴ δὲ οὐ μόνον ἄρτι λαμβάνοντα καὶ ἐκ τοῦ εὐθέος τὰς βοτάνας φέρειν τὴν ἴασιν τοῖς τὴν ἀπὸ τῶν ἑρπετῶν πληγὴν παραδεξαμένοις, ἀλλὰ καὶ εὐγέων ἀπὸ χωρίων καὶ βαθέων ἄλλως, ἐν οἷς κώνωπες γίγνονται ἀπὸ τῆς ἐνυπαρχούσης νοτίδος τοῖς χωρίοις τούτοις.

Ἔστω δὴ πρώτη σοι τῶν ῥιζῶν εἰς ἀφήγησιν ἐρχομένη καὶ ὧν ἕνεκα παρέχεται θεραπείας χάριν ἥδε ἡ λεγομένη χειρώνιος.

Ὁ δὲ Χείρων οὗτος, ἀφ' οὗπερ ἔσχεν καὶ ἡ ῥίζα τὴν ἐπωνυμίαν, Κένταυρος ἦν καὶ πατρὸς γέγονεν ἐκ τοῦ Κρόνου. ἐν δὴ τῷ ὄρει τῆς Θετταλίας τῷ Πηλίῳ, ἐπειδὴ ἥδε ἦν ἡ ῥίζα, οὐκ ἔλαθεν αὐτὸν, ἀλλὰ ἐξευρίσκει, καὶ καλεῖ τόγε ἐντεῦθεν χειρώνιον αὐτὴν, ὅτι αὐτὸς αὐτῆς ὁ Χείρων εὑρετὴς γέγονεν. Καὶ τὸ μὲν εἶδος αὐτῆς τυγχάνει τοιόνδε. ἐμφερής ἐστι κατὰ φύλλα ἀμάρακι, τὸ δὲ ἄνθος παρέχεται χροιὰν τὴν ἀπὸ τοῦ χρυσοῦ. ἡ ῥίζα γε μὴν οὐκ εἰς βάθος ἀλλὰ ἐπιπολῆς ἐστι καὶ γῆς ἐν ὀλίγῳ. δύναται δὲ διδομένη παντὶ

τῷ πληγέντι ὑφ' ἑρπετοῦ, ὑφ' οἵου δ' ἂν τύχῃ, ῥύεσθαι καὶ ὑπεξάγειν ὀλίγου δεῖν τὸν τῷ θανάτῳ προσομιληκότα. Ἐμβάλλων τοίνυν εἰς ὅλμον τοσοῦτον ἀπ' αὐτῆς τῆς ῥίζης, ὁπόσον αὔταρκές ἐστι καὶ πρὸς θεραπείαν, εἰς κοτύλην οἴνου· πρότερον μέντοι κόψας, εἶτα τὸν οἶνον ἐπιχέας δίδου τηνικαῦτα πίνειν τῷ ἐγγὺς, καὶ παρὰ τὸ δεινὸν ἐκεῖνο 5 ἐλθόντι. Ἐάν τε τοίνυν οὖσαν ξηρὰν ἐάν τε καὶ ἀνελόμενος ἐκ τῆς γῆς αὐτίκα μάλα παρὰ χεῖρας ἔχῃς, οὐδὲν τοῦτό σοι διοίσει θεραπείας χάριν. Ἐμοὶ] μὲν οὖν δοκεῖ διὰ τοῦτο καὶ τὸ πανάκειον προσειρῆσθαι· ἐπιλέγεται γὰρ καὶ τούτῳ τοῦτο τὸ ὄνομα πανάκειον, διότι ἄκεσιν ἐπιφέρει, καὶ διαδράντες ἀπίασι πολλοὶ, ἃ περιμένειν ἀνάγκη θεραπείας χήτει τοὺς ταῖς ἀπὸ τῶν ἑρπετῶν 6 συμφοραῖς καὶ κακοῖς ἀμηχάνοις περιπεπτωκότας.

Vers. 509 — 519. Ἐχομένη δέ ἐστι τῆς βοτάνης ταύτης ἀριστολόχεια, καὶ ταύτην ἐγὼ καλουμένην οἶδα. καὶ αὕτη μετ' οἴνου πινομένη ποιεῖν τὰ αὐτὰ τῇ προτέρᾳ βοτάνῃ δύναται. φύεσθαι δὲ ἐν συνσκίοις ὡς ἐπὶ πᾶν φιλεῖ, καὶ ἀπὸ τοῦ συλλαμβάνεσθαι πρὸς εὐτοκίαν ταῖς τικτούσαις αὐτὴν γυναιξὶν οὕτως ἀριστολοχία κέκληται. φύλλα δὲ φέρει μὲν κισσοειδῆ καὶ σχεδὸν τὰ αὐτὰ δείκνυσι 7 τῇ περικλυμένῃ. ἀνθεῖ δὲ ἐρυθρὸν καὶ οἷον ἡ ὕσγινος. ταύτῃ δὲ κέχρηνται πρὸς τὰς βαφὰς τῶν οἵαπερ αὐτὴ τὴν χροιὰν ἡ ὕσγινος τυγχάνει. ἀποπνεῖ δὲ δεινὸν ἄρα καὶ λίαν δυσχερὲς, καὶ τὸν καρπὸν παρεοικότα ταῖς ἀχράσιν φέρει καὶ μυρτάδος ἄντικρυς τῷ καρπῷ καὶ βάκχης καὶ τοῦ τῶν ἀπίων. Ἀλλὰ μὴν

5 Editum εκινος.
6 Editum θεραπιας σχη τι τους ταις απο των ερπετων.
7 Editum δικνουσα.

ἄρσενός τε καὶ θήλεως ἡ ταύτης παρέχεται τῆς βοτάνης φύσις διαφοράς. τῆς μὲν γὰρ ἄῤῥενος ἀριστολοχείας ἐστὶν ὑπομήκης τε ἡ ῥίζα καὶ χωρεῖ πρὸς βάθος καὶ ἐστὶν περί τί που πηχυαία8. ἡ θήλεια δέ ἐστιν οὐχ ὁμοίως μακρὰ, ἀλλὰ εὐστρόγγυλος εἰς μέγεθος, καὶ εἰς τὸ βάθος οὐ λίαν ἡ ῥίζα κάτεισιν. πύξῳ δὲ τῇ ἐν Ὠρίκῳ τὸ εἶδος ἔοικεν, καὶ ἔστι τῆς Κρήτης τὸ χωρίον, ἐν ᾧ αἱ πύξοι τοιαῦται φύονται. πινομένη τοίνυν οἴνου μέτα καὶ τούτου μέλανος εἰς δραχμὴν τοῖς ὑπὸ ἐχιδνῶν ἢ ἔχεων δηχθεῖσιν ἱκανῶς βοηθεῖ.

Vers. 520—527. Καὶ τὸ λεγόμενον τρίφυλλον οὐδὲν ἐᾷ παθεῖν τὸν δηχθέντα οὐδὲ ὑπομεῖναι βλάβην τινὰ πλήξαντος ἑρπετοῦ. εἶναι μέντοι τὴν βοτάνην ὡς ὅτι μάλιστα ἐπιζήτει ταύτην ὀρεινῶν ἀπὸ καὶ ἀποκρήμνων καὶ τραχέων τόπων ἐκλέγεσθαι. ἔτι γε μὴν ἀξιοῖ9 τὸ τρίφυλλον τοῦτο παρὰ μὲν ἐνίων μινυανθὲς, τριπέτηλον δὲ παρ' ἑτέρων προσαγορεύεσθαι. ἔχει δ' οὖν τὰ μὲν φύλλα παρεοικότα τοῖς τοῦ λωτοῦ, ὀδμὴν δὲ τὴν αὐτὴν τῇ ῥυτῇ, ὃ πήγανον Λακεδαιμόνιοι ῥυτὴν τῇ ἐπιχωρίῳ κεχρημένοι λέγουσί που φωνῇ. ὁπόταν δὲ δὴ τῆς βοτάνης ταύτης μαρανθῇ μὲν τὸ ἄνθος, τὰ δὲ φύλλα οἴχηται, δόξειας ἂν 1 ἀποφορᾶς ἀσφάλτου μετέχειν αἰσθανόμενος τῆς ὀδμῆς τοῦ τριφύλλου τούτου. χρήσιμον δέ ἐστι τηνικαῦτα συνάγειν τὸ σπέρμα, ὁπόταν ἐπακμάσαν ἑαυτοῦ γήραιον γένηται. στρογγύλον μήν ἐστι τὸ σπέρμα, καὶ κυμβάλου σωζόμενον ἐπ' αὐτοῦ δείκνυται τὸ

8 Editum περι τι ου πηχυεα.
9 Inter voces μην et το superadditum est verbum αξιοι. *Bandini.*
1 Editum δοξης ας αν.

σχῆμα. ὑπὸ ὄφεων δὲ τοὺς δηχθέντας ἅμα οἴνῳ τόδε διασώζει ποθέν.

Vers. 528—540. Ἀλλά σοι καὶ ταύτας ἐγὼ τὰς συνθέτους ἄρα καὶ θεραπευτικὰς βοηθείας, ὡς ἂν οἷός τε ὦ, διεξελεύσομαι. Ἔστι τις νῆσος Σικελία, ἐν ᾗ θάψος τις λεγομένη γίγνεται βοτάνη. ταύτης τῆς θάψου τὴν ῥίζαν τρίψας ὡς μάλιστα ἐπιμελῶς, μετὰ μέντοι τοῦ ἄγνου τοῦ καρποῦ· νῆρίν τε πρὸς τούτοις τὴν βοτάνην καὶ πηγάνιον ἐπιβαλὼν, θύμβρης τε ὁμοίως κλῶνας, ἀλλ᾽ οὐ τῆς ὀρείου, ἀλλὰ τῆς ἐν τοῖς τόποις τοῖς ἡμερωτέροις φυομένης. ἡ γὰρ δὴ ὄρειος αὕτη θύμβρα εἰς ὕψος αἴρεται καθάπερ ἕρπυλλος. ἀνθοῦντός τε δὴ τὸ σφοδρὸν ἀσφοδέλου ῥίζαν τό τε καυλίον ἄλλοτε καὶ ἄλλοτε σπέρμα, ἔτι μὲν τοιοῦτο φέροντος τοῦ ἀσφοδέλου καὶ ἔχοντος ἐν ἑαυτῷ τὸ σπέρμα τοῦ λοβοῦ, ταῖς οὔσαις προστίθει. ἑλξίνη δέ ἐστι βοτάνη, καὶ λέγεται τοῦτο ἀπὸ τοῦ μηδὲν αὐτὴν συγχωρεῖν πλησίον ἑαυτῆς φύεσθαι. αὕτη που τὸν μὲν χυμὸν ἰξώδης τυγχάνει· κλύβασις ἥδε διὰ τοῦτο πρὸς τῶν πολλῶν ὀνομάζεται. Χαίρει δὲ ἐν τῷ ἕλει γίγνεσθαι, καὶ μᾶλλον ἐν εὐύδροις τόποις. κόψας καὶ ταύτην ἅμα ταῖς ῥηθείσαις τὴν βοτάνην ἐπιμελῶς πάσαις, μάλιστα [τὰ] μὲν ὄξει προσχρώμενος καὶ διαμιγνὺς ταῖς ἄλλαις συναναλάμβανε, εἰ δὲ μὴ παρείη ὄξος, οἴνῳ προσκέχρησο· εἰ δὲ ἀποστερῇ καὶ τούτου, ἴθι σὺ τὴν ἐπὶ τὸ ὕδωρ, καὶ οὕτως ἀναιροῦ πάντα διὰ τοῦ ὕδατος. ἀντίξοον 2 γὰρ τῷ θανάτῳ κατασκευάσεις βοήθημα καὶ σωτηριῶδες ἄντικρυς ἀπὸ τῶν ἑρπετῶν. 3

---

2 Editum *αντιζωον*.

3 Hactenus ex Codice Vindobonensi Medicei defectus suppletus: quae sequuntur, ex Mediceo descripsimus, alterius variis lectioni-

Vers. 541—549. *Καὶ ἡ ῥίζα δὲ ἀγαθόν τί ἐστιν ἄρα ἐπίστασθαι αὐτὴν, ἡ πρότερον μὲν ἐχίειον* 4, *ὕστερον δ' ἀλκίβιον προσαγορευθεῖσα. ἔστι δ' οὖν τὰ μὲν φύλλα ἐξ αὐτῶν* 5 *οἷον ἀκάνθας ὁρᾶν περιβεβλημένα τὰ ταύτης καὶ περικείμενα, τὸ δὲ ἄνθος αὐτῆς οἷόν περ καὶ ἴῳ, τὴν ῥίζαν δὲ οὐκ ἔχει παχεῖαν, ἀλλὰ ἐπὶ μῆκος ἐκτέταται. Λέγει δὲ λόγος τις ταῦτα* 6 *περὶ Ἀλκιβίου, ὡς ἦν Ἀλκίβιός τις καὶ ἐκάθευδε πλησίον καὶ παρ' αὐτὴν ἐλθών πού ποτε τὴν ἅλω· τὸ δὲ γιγνόμενον ἦν ἐν θέρει· ἔρχεται οὖν τὸν Ἀλκίβιον καὶ τιτρώσκει ἔχις εἰς τὸν μηρόν· ὁ δὲ διαναστὰς ἐκ τοῦ ὕπνου, καὶ ὀδυνώμενος, γίγνεται μὲν εὐθέως ἑαυτοῦ, λαβὼν δὲ πλησίον οὔσης ῥίζαν τῆς βοτάνης ταύτης, εἶτα ἀνασπάσας ἀπὸ τῆς γῆς ταχὺ, κατακόπτειν παραδίδωσιν αὐτοῦ ταύτην τοῖς ὀδοῦσι· καὶ τὸ μὲν ὑγρὸν, ὅσον ἦν, τοῖς ἐντὸς διὰ τοῦ λαιμοῦ χορηγεῖ χωρίοις, τῷ δὲ ἄλλῳ τῆς ῥίζης, ὅθεν ἦν τὸ ὑγρὸν ἐκμυζηθὲν, τοῦ στόματος ἐξαγαγὼν καταπλάττει τὸ ἕλκος. Ἀλκίβιον τοίνυν ἡ βοτάνη μετὰ ταῦτα διὰ τοῦτο κέκληται, πρόσθεν ἐχίειον* 7 *λεγομένη, ὅτι εἴτε* 8 *ὁ εὑρὼν τοπρῶτον εἴτε ὁ χρησάμενος [καὶ] περισωθεὶς Ἀλκίβιος ἦν.*

Vers. 550—556. *Οὐ μὴν ἀλλ' ἔτι καὶ τῆς πρασίου χλωρᾶς οὔσης κόψας ὁμοῦ κλῶνας πάνυ σφόδρα, καὶ λευκῷ ἐν οἴνῳ ἀναλαβὼν, τοὺς ὑπὸ ὄφεων πληγέντας ἕξεις διὰ τούτου δύναμιν τοῦ κινδύνου ῥύεσθαι· ἡ γὰρ δὴ πράσιος αὕτη*

---

bus in calce paginarum adiectis. *Bandini.* quarum leuiores omisi.

4 *εχιϊον*, Medic. *ἔχειϊόν.*

5 *εαυτων.*

6 *ταῦτα* e Vind. accessit.

7 Editum *ἐχιὸς.* Vind. *εχει ειον.*

8 Editum *ὅτι τε.* Sequens *καὶ* addidi de meo.

καὶ τὰς πρωτοτόκους λέγεται τῶν βοῶν, ὁπόταν εἶεν αὗται βαρυνόμεναι τῷ γάλακτι, ἥκιστα πάντων ἐπὶ τούτοις μεταποιούμεναι τῶν νεογνῶν, περιτεθεῖσα τοῖς μαζοῖς στέργειν ἀναγκάζει τὰ ἔγγονα, προχεομένου μετὰ ταῦτα πολλοῦ καὶ ἀποῤῥέοντος τοῦ γάλακτος· ἥδονται δὲ καὶ μέλιτται τῇ πρασίῳ ταύτῃ, ἣ μελίφυλλον μὲν παρ' ἐνίων, μελίκταινα δὲ διὰ τοῦτο 9 παρ' ἐνίων προσαγορεύεται. αἱ γὰρ δὴ μέλιτται τῶν κατὰ σφᾶς ἐπιλαθόμεναι χωρίων, καὶ ὧν εἰργάζοντο κηρίων, καὶ οὗπερ ἐποιοῦντο μέλιτος, παρὰ ταύτην ἴασιν καὶ βομβοῦσιν ἐρχόμεναι ἐπὶ τὰ ταύτης 1 φύλλα τῆς πρασίου, ἐχόμεναι ὑπ' εὐωδίας καὶ τῶν ταύτης καλῶν. 2

Vers. 557 — 563. *Καὶ μὴν καὶ ὄρνιθος τῆς ἐν ποσὶν καὶ ἐν οἴκῳ οὔσης* ὁ περιελὼν μετὰ τὸν τοῦ ὀστέου ὡς οἷόν τε αὐτοῦ που τοῦ ἐγκεφάλου τὸν ὑμένα, πολύκνημόν τε ἐπὶ τούτοις λεπτὸν, ἔτι μὴν καὶ ὀρίγανον, καὶ ἥπατος κάπρου τὸ ἄκρον τοῦ λοβοῦ· τοῦτο δὲ ἐξ αὐτῆς τῆς λεγομένης τραπέζης ἀνέχειν πέφυκε τὸ ἄκρον τοῦ λοβοῦ· ἐνταῦθα συννένευκεν ἡ τοῦ ζώου χολὴ, καὶ εἰσὶ σχεδὸν πλησίον ἐκείνου τοῦ λοβοῦ αἱ αὐταί που λεγόμεναι τοῦ ἥπατος πύλαι. ἰδίᾳ τοίνυν ἕκαστον τρίψας ἐπιμελῶς, τόν τε ἐγκέφαλον αὐτὸν καθαρὸν ποιήσας τοῦ ὑμένος, καὶ τὰ ἄλλα πάντα συναγαγὼν δίδου ἅμα ὄξει πιεῖν τῷ πληγέντι. ἄμεινον δὲ ποιήσει μετ' οἴνου.

Vers. 564 — 573. *Θαῤῥοῦντα δὲ δὴ προσήκει κἀκείνῳ κεχρῆσθαι*, ὃ πινόμενον μὲν ὀνίνησι καὶ ἀσινῆ διαφυλάτ-

---

9 Editum *μελίκταινον δὲ διὰ τοῦτον.*

1 Editum *ἐρχόμεναι καὶ ταύτης φύλλα.* Vind. *τὰ ταύτης* habet.

2 Quae heic in Nicandri Theriacis sequuntur, a versu nimirum 557. vsque ad versum 725., eorum metaphrasin suo loco Codices omittunt, restituunt autem inferius post versum 827. *Bandini.*

τει, ἣν ὑπὸ θηρίου τις ὢν τετρωμένος τύχῃ· ἄλλως δέ ἐστιν αὐτὸ οὐ χαλεπὸν δρᾶσαι. κυπαρίττου τοίνυν ἔστω φύλλα, καὶ πανάκειον ἡ βοτάνη, κάστορός τε ὁμοίως τοῦ ζώου οἱ λεγόμενοι κρεμαστῆρες, καὶ ἵππου, ὃν ὁ Νεῖλος ἐπὶ κακῷ τοῖς ἐν Σάει φέρει. ἐξελθὼν γὰρ οὗτος τοῦ ποταμοῦ λυμαίνεται αὐτῶν τὰ σπέρματα, κείρων τοῖς ὀδοῦσιν ἐπὶ πολὺ, καὶ αὖθις ἐπανερχόμενος ἐν τῷ Νείλῳ οἰκεῖ 3 ἀφελόμενος πρὸ τῆς ὥρας Σαείτας τοῦ θέρους. ἑκάστου τοίνυν τούτων ἔστω τὸ βάρος εἰς δραχμὴν ἕλκοντος, εἶτα ἣν ἐνίης 4, ταῦτα κόψας ὡς χρὴ, [διδόναι] 5 τετρωμένῳ δίδου πιεῖν ὧδε, μεθ' ὕδατος μέντοι.

Vers. 574—587. Οὐ μὴν ἀλλ' ἔτι χρὴ λήθην ὑμᾶς μηδὲ τούτων ἄγειν, ἀλλ' οἷόν τι δὴ 6 τό τε ἀβρότονον ἐμβάλλοντας καὶ δάφνης τῆς ἄῤῥενος ἔτι μὴν τὸν καρπόν. Διακρίνοις δ' ἂν αὐτὴν ταύτην ἀπὸ τῆς θηλείας τὴν ἄῤῥενα, εἴπερ ἐπισκεψάμενος εἴης τὰ 7 φύλλα τὰ παρ' ἀμφοτέραις, μαθὼν γὰρ δηλαδὴ τὰ ταύτης, ὡς που τυγχάνει στενώτερα, ἀγνοήσεις οὐκέτι τοῦ λοιποῦ 8 τὴν φύσιν. Μετὰ μὲν δὴ τούτων τῶν βοτανῶν ἡ ἀμάρακος ἐμβαλέσθω. φέρουσι δὲ αὐτὴν κῆποι καὶ τῶν ἀνδήρων οἱ πλείονες· πυτία τε ἀρτιτόκου πρὸς τούτοις λαγωοῦ καὶ δορκάδος καὶ ταύτης νεογνοῦ, καὶ νεβρῶν, τὰ περιττώματα 9 καὶ ἐχῖνον ἐλάφου· μέρος

3 Editum Νείλῳ, εἴ τις ἀφελόμενος. Deinde ἕκαστον τοίνυν.
4 Deest nomen, veluti ὅλμῳ vel θυίᾳ.
5 Verbum abundare videtur.
6 Locus vitio laborat, nec οἷόν τε succurrit.
7 Editum εἰς (Vind. ειης) φύλα.
8 Editum στενώτερα τὴν φύσιν, μετά. Vind. στενότερα του την. in margine αγνον σεισουκετι του λοιπου του.
9 Deest ἀφελόμενος vel simile verbum.

ἐστὶν ἐχῖνος ἐλάφου τῆς γαστρὸς, καὶ ὑπ' ἄλλων κεκρύφαλος αὐτῷ ὄνομα τέθειται. ἀφ' ἑκάστου δὴ τούτων ἀνὰ δραχμὰς β' οἴνου μὴν κεχρημένους τέτρασι κοτύλαις καὶ τούτου δὴ λευκοῦ διδόναι χρὴ πίνειν τοῖς ἐν χρείᾳ καθεστηκόσι μετὰ τὸ δηχθῆναι. Ἐχώμεθα δὲ καὶ τῆς ὠφελείας, ἥςπερ παρέχεται τὸ πόλιον. ὅτε γὰρ καρπὸς ὁ τῆς κέδρου, καὶ ὁ τῆς ἀρκεύθου ἅμα δὴ τοῖς ἀπὸ τῆς 1 πλατάνου γιγνομένοις σφαιρίοις, ὥς ἐστι κατιδεῖν, καὶ τῷ σπέρματι τοῦ βουπλεύρου, καὶ τῆς κυπαρίττου τῷ καρπῷ, καὶ ἐλάφου πρὸς τούτοις διδύμοις ὁμοῦ συμβληθέντα ἐκσώζειν ἰσχύσει πινόμενα, κἂν ὁπωσοῦν ἔχειν πονηρῶς ὁ δηχθεὶς δόξειεν ἀπὸ τοῦ θηρίου.

Vers. 588 — 603. Θεραπεία δὲ τοῦ κινδυνεύοντος ἐκ πληγῆς θηρίου πρὸς ταῖς ἤδη ῥηθείσαις ἔστω τις καὶ ἥδε. τὴν βοτάνην τὴν λεγομένην κολυμβατίαν κομίζων τις ἐμβαλλέτω θυΐᾳ, εἶτα λεαίνων πάνυ σφόδρα, πτισάνης κοτύλην χυλοῦ καὶ οἴνου κυάθους παλαιοῦ β', καὶ ἐλαίου β', καὶ τούτου καθαροῦ, εἶτα ἐπιβάλλων καὶ διδοὺς ἀπώσεται τὸν ἰὸν, καὶ οὐκ ἐάσει τὸν πληγέντα τοῦτον ἀπολέσθαι κακῶς. ναὶ μὴν καὶ ἱππομαράθου ῥίζαν, καὶ κέδρου καρπὸν καὶ πίσσης ἔτι μὴν τῆς ὑγρᾶς, ὡς κοτύλης ἕκτον, καὶ χλωροῦ νάρθηκος καυλία, καὶ ἱπποσελίνου σπέρμα, ὀξυβάφου μέτρον ἐχέτω τὸ ἱπποσέλινον, σμύρνης τε τῆς πικρᾶς δραχμὰς μετὰ πάντων β', καὶ κυμίνου τὸ ἀρκοῦν, προτρίψας 2 τούτων τὸ αὔταρκες, ἐμβαλὼν εἰς οἴνου κυαθον, ἀπνευστὶ πάρεχε τῷ πληγέντι πίνειν.

---

1 Med. τοῦ habet.

2 Editum προστρίψας.

Vers. 604 — 619. *Νάρδος ἐστὶ βοτάνη· ὁ σταθμὸς ἔστω ταύτης δραχμή. καὶ ποτάμιος καρκῖνος ἐν νεαρῷ πάνυ καὶ προσφάτῳ γάλακτι τριβέσθω λίαν ἐπιμελῶς, ἶρις τε ἡ παρὰ Δρίλωνα καὶ Νάρωνα γεωργουμένη τοὺς ποταμοὺς, οὗπερ δὴ Κάδμον ἀφίκεσθαι τὸν Σιδόνιον πεποίηκε καὶ Ἁρμονίαν ἐνταῦθα ὁ λόγος λέγεσθαι, καὶ ὅτι δράκοντες ἐγένοντο, καὶ νέμονται ταύτην, καὶ ταῦτα ὁμοίως ὁμολογεῖ. ἄνθη τε ἐρίκης ἐμβαλλέσθω, ἃ ταῖς μελίτταις εἶναι δοκεῖ κομιδῇ ποθεινὰ, μυρίκη τε, ἧς ἡ φύσις ἐδέξατο κλῆρον* 3 *τὸ μὴ φέρειν καρπόν. λέγεται μέντοι, ὡς ἧδε ἡ μυρίκη παρ' Ἀπόλλωνος τοῦ* 4 *ἐν τῷ Ὠρωπῷ τιμῆς ἠξιώθη, τούς τε δὴ οὖν μάντεις καὶ προφήτας ἐστεφανωμένους αὐτῆς* 5 *τὰς κεφαλὰς κλάδοις προλέγειν ὅσια τοῖς ἀνθρώποις, ἵνα φρονεῖν καὶ δίκαια. ἥ τε δὴ κόνυζα, καὶ οἱ τῆς ἀκτέας κλάδοι ὁμοῦ τοῖς ἄνθεσι καὶ τοῖς φύλλοις αὐτοῖς, σάμψουχόν τε καὶ κύτισον ἅμα τιθυμάλλῳ, καὶ ταῦτα ἐμβαλλέσθω θυΐᾳ, εἶτα μιγνύμενα λειούσθω σφόδρα ἐπιμελῶς, μετὰ δὲ ταῦτα ἐν σκαφίδι οἴνου προσπλεκομένου συνανακιρνάσθω· ὁ δὲ οἶνος μέτρον ἔστω δέκατόν που χοός.*

Vers. 620 — 629. *Ἀμείνους τῶν νέων βατράχων εἰσὶν εἰς θεραπείαν οἱ παλαιοὶ, καὶ μεγάλα ὀνίνησι** *τοὺς πληγέντας ὑπὸ θηρίου, ἢν μέντοι εἰς ὄξος αὐτούς τις καθεψήσας πάνυ πίνειν ἐπιδιδῷ τῷ κάμνοντι. οὐ μὴν ἀλλὰ καὶ*

3 Editum *κλῆρον τοῦ.*

4 Vind. *παρὰ πολλῶν ὡς ἡ μυρίκη του ἐν τω.* Goett. *μεντοι ως ηδε παρα πολλων ἡ μυρικη της ἐν τω.* Editum *καὶ ὡς ἧδε παρὰ πολλῶν ἐν.*

5 Ita Goett. *αὐτῶν* editum. Sequens *ὅσια*, a Goett. omissum, post *φρονεῖν* videtur inserendum.

* Iterum plurali numero sequitur v. 636. nisi vitiosa est forma.

καθ' αὑτὸ ἧπαρ βατράχου διδόμενον οὐχ ἧσσον ὠφελεῖ. ὠφελεῖ δὲ τοῦτο ὧδε ἅμα οἴνῳ ποθὲν, σὺν οἴνῳ δὲ οὐχ ἁπλῶς πινόμενον, ἀλλὰ [τῷ] ἐξ Αἰγύπτου. ἔτι μὴν καὶ ἡ τοῦ τρώσαντος ὄφεως κεφαλὴ τὸν ὑπ' αὐτοῦ τετρωμένον ἀπαλλάττει κακῶν, ὕδατι μὲν ἀποπλυθεῖσα πάνυ ἐπιμελῶς, εἰς οἶνον δὲ ἀποβραχεῖσα, ἥν τις πίῃ αὐτοῦ, οὐδενὸς μεθέξει τῶν δυσχερῶν. ἀτὰρ οὖν καὶ τῆς ἑλιχρύσου βοτάνης ἐπιμελῶς ἔχε, καὶ τοῦ ἄνθους αὐτῆς τοῦ γλυκέος τὴν θεραπείαν ἐπίστασθαι μηδαμῶς παραιτοῦ, κορχόρου τε δὴ καὶ τῆς μύου6 ὀνομαζομένης. λέγεται γὰρ οὖν καὶ μυόνη ἡ βοτάνη· καὶ τῆς κατὰ τὰς ἀκτὰς κονίλης που λεγομένης φύεσθαι ἡρακλέως7 ὑπό τινων ὀνομαζομένης, ὑπὸ δὲ ἄλλων ὀρίγανον προσαγορεύεται. ἔστι δέ τις καλουμένη ὄνου8 πέταλα, βοτάνη καὶ αὐτὴ, καὶ τὸ ὀρίγανον, καὶ τὰ στρόμβια τῆς θύμβρης κάλλιστον εἰδέναι, καὶ οὐκ ἂν μήποτε ὑγιὴς ὁ τούτῳ χρώμενος τῷ φαρμάκῳ διὰ πάντων ὀφθῇ.

Vers. 630—635. Ἐπίστασο δὲ καὶ τὴν ταῖς μικραῖς μηκωνίσιν ἐοικυῖαν ῥάμνον, τὸ λευκόν τε καὶ εὐανθὲς παρέχουσαν ἄνθος, ἥν που φιλέταιρον μὲν ἄλλοι, φιλάλληλον δὲ ἄλλοι προσονομάζουσι, Λυδῶν εἰσι παῖδες οἱ τοῦτο λέγοντες· τοῦ Τμώλου δέ εἰσι μὲν οἱ Λυδοὶ πρόσοικοι, δείκνυται δὲ, ὡς ἐστι παρ' αὐτοῖς τὸ Γύγου σῆμα, καὶ οἱ τὸ Παρθένιον ἔτι μὴν οἰκοῦντες καὶ Κίλβιον ὄρος, ἔνθα εἰσὶν ἵππων ἀγέλαι καὶ νέμονται πολλαὶ, καὶ μέντοι καὶ [αἱ] τοῦ Καΰστρου πηγαὶ ἐντεῦθεν ἄρχονται.

---

6 Vind. *της και μυου — ουν και μυονη ηδε βοτανη.* In edito alterum *καὶ* deerat.

7 Vind. *τις υπο* et sequens *ὀνομαζομένης* omittit.

8 Vind. *βοτανη ονου πεταλεια και το.* Post *θύμβρης* insertum *ἃ* cum Vind. omisi.

Vers. 636—647. Ἀλλά τοι καὶ ῥίζαι τυγχάνουσιν, αἳ τοὺς πληγέντας ὀνίνησιν, ἣν ὑπὸ ὄφεων δηχθῶσιν, καὶ περισώζουσι τοῦ κινδύνου, ἃς χρή σε παρ' ἐμοῦ μαθόντα, δυνάμεις τε δὴ τὰς τούτων καὶ τὰς θεραπείας ἔπειτα εἰδέναι, καὶ πρῶτον μὲν τὴν ἔχιον 1 βοτάνην οὕτω καλουμένην. εἶδος δὲ οὐχ ἓν ἐστι τὸ ταύτης, ἀλλ' ὑπάρχει β'. ἡ μὲν οὖν ἑτέρα τούτων ἀγχούσῃ εἴκασται. ἔστι γὰρ τὰ φύλλα τραχύτερα, καὶ οὐδὲ ἀνέχει πολὺ τῆς γῆς, οὐδὲ τοὺς κλάδους εἰς πάχος αἰρομένους * ἔχει· ἡ μέντοι ῥίζα ἐκτέταται, καὶ ἐπιπολὺ διήκει κατὰ τῆς γῆς κάτω. δασεῖα δὲ ἡ ἑτέρα καὶ σφόδρα ἄφυλλος, αἰρομένη τε εἰς ὕψος καὶ ἁδροὺς τρέφουσα τοὺς κλάδους. ἀνθεῖ δὲ οἷον ἡ πορφύρα, καί ἐστιν αὐτὴν ἰδεῖν οὐ πόῤῥω ἀνθοῦσαν τῆς βοτάνης, ἧς ἐστι χάλκης τὸ ὄνομα· τὸ δὲ πρέμνον διασῶζον ἂν κατίδοις αὐτῆς τὴν ἐχίδνης μορφήν. τούτων ἀμφοτέρων λαβὼν ἰσόσταθμον μοῖραν, ἢ 2 ῥίζας ἀκάνθου, καὶ τοῦ ἠρυγγίου τὸν αὐτὸν ἐκείναις παρεχούσας σταθμὸν, ἐμβαλὼν εἰς θυΐαν, ποίει λεπτά. τοῦ μὲν δὴ συνάγειν ὁ καιρὸς τὰς ῥίζας ταύτας τὸ ἔαρ ἔστω σοι, ὁ δὲ κομίζων αὐτάς τις τραχὺς ὑπαρχέτω τόπος. ἐπιτήδειον κατασκευάσεις ἐκ τούτων φάρμακον τοῖς ὑπὸ ὄφεων δηχθεῖσιν ἢ ἄλλων ἑρπετῶν.

Vers. 648—655. Ἔτι 3 δὲ τὸ ὀρινόν ἐστί τις βοτάνη, ὑπάρχει δὲ δὴ τραχεῖα, καὶ 4 φύλλων τῇδε ἐπίκειται πλῆθος, γιγνώσκειν μοι δοκεῖ. αὐτὴν τοίνυν ταύτην 5 τὴν

---

1 Vind. ἐχεῖον.
* αἰρουμένους editum.
2 Vind. καί.
3 Vind. Οτι.
4 Vind. καὶ ὡς.
5 E Vind. τοίνυν ταύτην adieci.

βοτάνην, καὶ τὸ σπειρόμενον ὧδε πρὸς τούτοις σέλινον, ὃ γίγνεσθαι μὲν ἐν Νεμέᾳ τοπρῶτον ἤρξατο, οὐδὲ πώποτε τῶν ἑαυτοῦ ἔρημον ὀφθῆναι φύλλων, τοῦτο τὸ σέλινον δὲ δύνηται 6 καὶ διπλάσιον ἀννήσου σὺν αὐταῖς ταῖς ῥίζαις τούτων τὴν ὁλκὴν παρέχοντος. ὁ δυνάμενος κατὰ λόγον συναγαγεῖν ταύτας ὁμοῦ πάσας, καὶ κατασκευάσαι, ἕξει μὲν τοῖς ὑπὸ ἔχεων δηχθεῖσιν εὐπετῶς βοηθεῖν, ἕξει δὲ καὶ τοῖς πληγεῖσιν ὑπὸ τῶν σκορπίων, καὶ τοῖς τῶν φαλαγγίων ἁλῶναι πάθεσιν οὐ παραχωρήσει, ἢν μόνον κατασκευαζόμενον ἐπιμελῶς τύχῃ τοῦτο τὸ φάρμακον. ἔστω δὲ τρίτον ὀβολοῦ σταθμὸς τὸ διδόμενον τῷ δηχθέντι καὶ εἰς οἶνον πιεῖν.

Vers. 656 — 665. Χαμαιλέων βοτάνη λέγεται, καὶ ἐστὶ γένη δύο τῆς βοτάνης ταύτης, καὶ ὁ μὲν τοῦ μέλανος χαμαιλέων γένους ἐς ἴσον ἔρχεται, τά τε φύλλα καὶ τὴν τραχύτητα ἐν αὐτῷ τοῦ σκολύμου φέρων, ῥίζαν δὲ μεγάλην ἅμα καὶ μέλαιναν 7 ἔχει. γίγνεται δὲ ἐν ἀνηλίοις χωρίοις καὶ δυσβάτοις ἄλλως. ὁ δὲ ἕτερος τοῦ λευκοῦ χαμαιλέων γένους, ὑψηλὸς μὲν ὁρᾶται, καὶ ἄνω τῆς γῆς οὗτος ὑπερέχων πολὺ, ὡς ἑτέρως 8 δὲ κλινομένην καὶ βρίθουσαν δι' ἀσθένειαν κάτω τὴν κεφαλὴν ἔχει. γλυκεῖαν δὲ παρέχει ἑαυτὴν ἡ ῥίζα γεύσασθαι, καὶ (οὐ) πάνυ λευκήν. ὠφελεῖ δὲ ὁ μὲν μέλας ἥκιστα χαμαιλέων, ὁ δὲ λευκὸς πάνυ, ἢν τά τε φύλλα καὶ τὸν φλοιὸν τῆς ῥίζης ὡς εἰς δραχμὴν κόψας, ἐπιχέας ὕδατι, δοίης οὕτω πιεῖν. 9

---

6 Deesse aliquot verba videntur.

7 Editum μελάνην. Paulo antea verba ἐς ἴσον ἔρχεται vitiosa esse puto.

8 Vind. ετερος.

9 Supra versu 621. edebatur similiter ἢν — πίνειν ἐπιδίδοι.

Vers. 666—675. Ἀλκίβιον ἄλλη τις ἐνταῦθα κέκληται βοτάνη, ᾗ τοὔνομα μὲν ἐτέθη ἀπὸ τοῦ εὑρόντος. δίδοται δὲ αὐτῆς τοσοῦτον μετ' οἴνου ἤν τις δηχθῇ πιεῖν, ὁπόσον χεὶρ ἀνδρὸς δύναται δεξαμένη χωρεῖν. περὶ δὲ ἀλκιβίου τὰ λεγόμενα ταῦτά ἐστιν· ὡς ἦν, φησὶν, ἀνὴρ Ἀλκίβιος, καὶ ἐφίλει θήραν· περὶ δὲ τό τε Φαλάκραιον ὄρος καὶ Κρύμην καὶ Γράσσον, ἅπέρ ἐστιν ἄπεδα χωρία τῆς Τροίας, ὁ Ἀλκίβιος οὗτος ἐκυνηγέτει φιλοχωρῶν· ἐνταῦθα (ὡς) 1 λέγουσι καὶ λειμῶνα δείκνυσθαι τοῦ δουρίου ἵππου. κυνηγετοῦντος δ' οὖν αὐτοῦ, καὶ ἐπικελεύοντος τὴν λάκαιναν ἐλθεῖν κύνα κατ' αἰγὸς ἀγρίου, προελθούσης ὀλίγον τῆς κυνὸς, καὶ κατὰ στίβον ἐρχομένης ἧς μετήει θήρας, οἷα δὴ γίγνεται, ἡ λάκαινα, οὐ γὰρ δὴ μεθίει τῆς ἄγρας ἑαυτὴν, παίεται ὑπ' ἐχίδνης κατὰ τοῦ 2 ῥαντῆρος, ὃς τοῦ τε ὀφθαλμοῦ μεταξὺ τυγχάνει καὶ τῆς ῥινός. κλάγξασα μὲν οὖν ἤδε ἀποσείεται τὸ θηρίον, προσδραμοῦσα δὲ βοτάνῃ μασᾶται τῶν φύλλων τῆς βοτάνης, καὶ διασώζεται. Ἀλκίβιος δ' οὖν ἐπὶ τούτοις ἐλθὼν, καὶ γνοὺς ἅπερ εἶδε 3 γενόμενα, τῇ βοτάνῃ ἀφ' ἑαυτοῦ δίδωσι τὴν προσηγορίαν, καὶ 4 ἀγνοουμένην αὐτὴν θεραπείας χάρις εἰς μέσον 5 ἤγαγεν. 6

Vers. 676—688. Ἀλλὰ καὶ φυτόν ἐστι κρότων οὕτω λεγόμενον, ὃ τὸν μὲν καρπὸν ὡς ἐλαίαν φέρει, κίκι δὲ ὀνομάζεσθαι πρὸς τῶν πολλῶν κρατεῖ. τούτου δὴ οὖν τὸν φλοιὸν

---

1 Vind. ὡς omittit.
2 Vind. τα του ῥ.
3 Editum ἴδει. Vind. ηδει.
4 Vind. οτι.
5 Vind. αὐτοῖς εἰς μέσον.
6 Heic desinit Theriacorum Paraphrasis in Codice Mediceo: igitur quae sequuntur ex Vindobonensi suppleuimus. *Bandini.*

χλωρὸν τοῦ κρότωνος, μελισσοφύλλου τε σὺν τοῖς φύλλοις, ὃ καὶ μελίλωτον λέγεται, ἅμ' ἡλιοτροπίου τῆς βοτάνης κλάδοις. ἐτέθη 7 δὴ ἡλιοτρόπιον ταύτῃ τῇ βοτάνῃ τὸ ὄνομα, ὅτι δὴ πρὸς τὴν τοῦ ἡλίου τρέπεται διὰ παντὸς φορὰν, καὶ οἷον ἐρῶσα τῆς ἀκτῖνος πρὸς αὐτὴν ἐκείνην τὴν ἀκτῖνα τοῖς ἤδε φυλλοις 8 νένευκεν· καθάπερ καὶ τὴν ἐλαίαν ἔμπαλιν θέρους μὲν τὰ φύλλα τοῦ χειμῶνος ἔχειν, ἔμπαλιν δὲ τὰ τοῦ χειμῶνος ἐν τῷ θέρει στρέφειν. πεπίστευταί γε μὴν καὶ τὴν ῥίζαν τῆς κοτυληδόνος μάλιστα ὠφελεῖν τοὺς παῖδας, ὁπόταν ὑπὸ χειμῶνος ῥήξεις τινὰς ὑπομείνωσιν, ἢ χίμεθλα ἐπώδυνα, τὴν βοτάνην αὐτοὺς τότε διαφορεῖν ταύτην. ἔτι μὴν καὶ τῆς πυρίτιδος τὰ φύλλα, ὁπόταν ᾖ χλωρὰ, καὶ ἣν σκολοπένδριον προσαγορεύουσι βοτάνην, ὁ καυλὸς ὁ ταύτης ὠφελιμώτατον. ἄθρει δὴ καὶ ταύτην τὴν βοτάνην, ἧς ἐστιν εὑρετὴς Ἀσκληπιὸς, ὄνομα δὲ ἐπιλέγεται τὸ ταύτης πάνακες. ἐν γὰρ δὴ τῇ χώρᾳ τῇ Φλεγυῶν, πλησίον Μέλανος τοῦ ποταμοῦ, καὶ παρὰ τὸ χεῖλος διαγωνιζομένου τοῦ τῆς Ἀλκμήνης πρὸς τὴν ὕδραν παιδὸς, παρὼν τιτρώσκεται ἅμ' αὐτῷ ὑπὸ τῆς ὕδρας ὁ Ἴφικλος, καὶ ὁ Ἀσκληπιὸς αὐτόθεν λαβὼν τὴν βοτάνην ἐπαμύνει αὐτῷ βεβλημένῳ, καὶ οὕτως ἰᾶται.

Vers. 689 — 699. Ἔστω σοί που δὴ βοηθεῖν καθάπαξ θέλοντι καὶ τόδε εἰδέναι, τὰ τῆς γαλῆς δήπου σκυλάκια ἢ αὐτὴν ἐκείνην τὴν μητέρα ἣν ἀγρεύσας τύχῃς, ὡς ἔτι νεαρὰ τυγχάνει, τὰς τρίχας ἀφαιροῦ διὰ πυρὸς, εἶτα καθήρας ἐπιμελῶς τὸ σῶμα ταριχείᾳ δίδου. μετὰ δὲ ταῦτα αὐτὸ ἐν σκιᾷ ξήραινε καὶ ἄνευ ἡλίου, φυλαττόμενος ὀφθῆναι μὴ

---

7 Editum ετεον δη.
8 Editum τοις τη δε φυλλοις.

ποτε τῆς γαλῆς τὸ σῶμα ὑπὸ τῆς ἀκτῖνος· ἄμεινον γὰρ οὕτως. Οὐ μὴν ἀλλ' ἐάν πέρ τινος θεραπείας εἰς χρείαν καταστῇς καὶ κάμνοντος ἀντιλαβέσθαι θελήσειας, αὐτόν ποτε πλήξαντος ἑρπετοῦ, τῆς ταριχευθείσης ἐκείνης καὶ ψυγείσης γαλῆς ἀποξέσας τοσοῦτον εἰς οἶνον δίδοθι τῷ δηχθέντι πιεῖν, ὁπόσον ἄν τις ἀποξέσας τυροῦ ἢ σιλφίου γονος 9 ἐπιβάλοι ποτῷ. μακρῷ γὰρ ἄριστον τοῦτο καὶ παντὸς . . . . θερον 1 ἱκανὸν φυλάξαι κινδύνου.

Vers. 700—714. Ἱκανὸν δὲ ἐπαλεξῆσαι καὶ τὸ τῆς χελώνης αἷμα· χελώνης δὲ νῦν τῆς θαλασσίας, οὐ τῆς ἄλλης λέγω· καὶ ἀναριπῖσαι τοῦ κινδύνου οὗπερ εἴωθεν ἐπιφέρειν τῷ θνητῷ γένει τῶν ἀνθρώπων τὰ θανατηφόρα τῶν ἑρπετῶν. κατὰ δὴ οὖν ταῦτα χρὴ πράττειν τὸ 2 ταύτης καὶ λαμβάνειν αἷμα. τὴν χελώνην τὸ μὲν πρῶτον ἐκβάλλειν δεῖ τῆς θαλάττης ἔξω. ἔπειτα τοὺς θαλαττουργοὺς αὐτὴν ἐκβαλόντας ἐπὶ τῆς ἠόνος ἀναστρέφοντας μανθάνειν ὅπου ποτε ἔχοι τὴν κεφαλὴν αὐτή. χαλκέῳ δὲ ξίφει κεχρημένους κατὰ δὴ τοῦ λαιμοῦ τοῦ ταύτης ὧδε ἐπάγειν τὴν σφαγήν. ἔστω δὲ τὸ ὑποδεχόμενον ἀγγεῖον τὸ ταύτης αἷμα κεράμεον καινόν. τοῦ τοίνυν αἵματος τῆς χελώνης τὸ μέν τι τοῦδε πήγνυται, τὸ δὲ οὐ πήγνυται, ἀλλὰ ὑδατῶδες εὑρίσκεται. τούτου τοίνυν τὸ μὲν ὑδατῶδες οὐκ ἔστι χρήσιμον, τὸ δὲ παγὲν εἰ ξηρανθείη, ὡς τεσσάρων ὁλκὴν δραχμῶν, τῇ σκευασίᾳ προσβάλλειν δεῖ, ἀγρίου μετὰ κυμίνου δραχμῶν δήπου δύο,

9 Primas duas litteras vocis *γονος* ex coniectura suppleuimus: nam propemodum euanuerant. *Bandini.*

1 Vbi puncta illa apposuimus, trium tantummodo litterarum vestigia supersunt, sed ita euanida, vt eas minime adsequi potuerimus. *Bandini.*

2 An fuit *ὥστε τὸ ταύτης λαμβάνειν αἷμα*?

πυτίας τε λαγωοῦ δραχμῆς τὸ ἥμισυ. μιγέντα γὰρ ταῦτα εἰς οἶνον ὠφελεῖ διδόμενα. καὶ ἡ ποσότης τοῦ σταθμοῦ ὑπαρχέτω δραχμή. καὶ ταῦτα μέν που πρὸς τοὺς ὑπὸ ὄφεων δηχθέντας ὠφελιμώτατα.

Vers. 715—725. Ὡς δὲ καὶ τὸ τῶν φαλαγγίων ἐστὶν ἐπιβλαβὲς γένος καὶ τὸ δῆγμα αὐτῶν οὐχ οἷόν τε εἶναι μὴ πονηρὸν, εἰδότι σοι καὶ ταῦτα διεξελεύσομαι. ἔστι δ' οὖν ὁ φάλαγξ τὴν χροιάν ποτε μὲν ζοφώδης καθ' ἑαυτὸν, ποτὲ δὲ ῥαγὸς τὴν χροιὰν σταφυλῆς ἐπανθοῦσαν φέρει, τὴν γαστέρα ἔχων ἐν τῷ μέσῳ, τοὺς ὀδόντας αὐτῆς πλησίον που καὶ τραχεῖς τῆς γαστρὸς προκειμένους φαίνει· ἐπαλλήλοις μὲν χρῆται βαδίζων τοῖς ποσὶν, τὸ δὲ δῆγμα αὐτοῦ ὀδύνην οὐ ποιεῖ, οὐδὲ ἴχνος ἡ πληγὴ δείκνυσιν. Τοῦ μέντοι δηχθέντος ὑπὸ φαλαγγίου φοινίσσονται μὲν αἱ παρειαὶ, φρίκη δὲ κατὰ παντὸς αὐτοῦ τοῦ σώματος χωρεῖ· σπασμοὶ δὲ περὶ τὰ αἰδοῖα σύντονοι γίγνονται, καὶ αἷμα ἀπουρεῖ πολλάκις· νάρκα τε ἐπὶ τούτοις ἴσχει τὰ περὶ τὰ σκέλη. καὶ ἀπὸ τῶν ἰσχίων τοῦτο ἄρχεται τὸ δεινόν.

Vers. 725—728. Τοῦ δὲ ἀστερίου τὸ εἶδός ἐστί που τοιόνδε· ποικίλαι κατὰ τοῦ νώτου παντὸς αὐτοῦ διήκουσι γραμμαί· ἔπειτα ἐὰν προσάψηται ἀνθρώπου σώματι, φρίκην τε καὶ ταύτην λεπτὴν καὶ καρηβαρίαν, ἅμα τούτῳ καὶ παράλυσιν τῶν γονάτων ὁ ἀστέριος οὗτος φάλαγξ εἴληχεν ἐμποιεῖν.

Vers. 729—733. Ἀλλὰ μὴν καὶ τὸ κυάνεον οὕτω καλούμενον φαλάγγιον τοιοῦτόν ἐστι τὸ εἶδος, οἷον καὶ τὸ χρῶμα κυάνεον· παρέχεται δὲ μέγεθος μὲν οὐδὲν τοῦτο, οὐδέ ἐστιν βραδὺ, καὶ πεφύκασι τρίχες ἐξ αὐτοῦ, καὶ ἐὰν πλήξῃ, τὴν καρδίαν τοῦτο ὀδυνᾶσθαι ποιεῖ, καὶ ὡς νύκτα ὁρᾷν, καὶ ἐπιγίγνεται τοῦ πληγέντος τοῖς κροτάφοις βάρος, συνεχεῖς

τε ἔμετοί καὶ λεπτοί, καὶ ἐπὶ πᾶσιν ὁ θάνατος τὸν πληγέντα ἴσχει.

Vers. 734—737. Ὁ μέντοι ἀγρώστης οὗτος ἔοικε τὴν μορφὴν τῷ λύκῳ, ὁ δέ γε λύκος οὗτος οὐδὲν πλὴν μυίας ἀναιρεῖ, ὁ δὲ ἀγρώστης μελίττας, ψῆνας, καὶ μύωπας, καὶ ὅσα τούτων ἀδελφὰ διόλλυσιν γένη. δρᾷ δὲ οὐδέποτε οὐδὲν δεινὸν ὑπ' αὐτοῦ τὸν πληγέντα ὁ ἀγρώστης οὗτος.

Vers. 738 — 746. Σφήκειον, τὸ καὶ καλούμενον δύσδηρι, τὴν μὲν χροιὰν πυῤῥόν ἐστι, καὶ ὡς σφηκὸς φέρει· εἰσὶ δὲ οἱ σφῆκες θρασεῖς, καὶ τῶν γειναμένων αὐτοὺς ἵππων ἐπαγομένην ἔχουσι τὴν ἀλαζονείαν· ἐξ ἱππίων μὲν γὰρ σφῆκες σωμάτων γίγνονται, τὰς δὲ μελίττας ὁμοίως τὰ τῶν μόσχων ποιεῖ· τὰ δὲ ἔργα ἑκατέρων τῶν γενῶν εἰς ἑκάτερον αὐτοῖν ὁρᾷ τοῖν γεννησαμένοιν. τὸ μέντοι δῆγμα τοῦ σφηκείου τούτου φλεγμονὴν γενναίαν ἐπιφέρει, εἶτα τρόμον, ἐπὶ τούτοις καὶ ὀλιγωρίαν, καὶ τὸ μηδὲν ἰσχύειν ἔτι ἐπ' αὐτὸν ἔρχεται, ὅτε ὕπνος αὐτὸν 3 κατὰ βραχὺ πρὸς ἑαυτὸν ἕλκων τῷ θανάτῳ παραδίδωσι λεληθότως ἄγειν.

Vers. 747 — 751. Ἐχόμενον δὲ δὴ τούτων ἐστὶν ἄλλο φαλάγγιον, καὶ καλοῦσιν αὐτὸ μυρμήκιον, διότι ἐστὶ παρεοικὸς τῷ μύρμηκι τοῦτο· πυῤῥὸν δὲ ἔχει μὲν τὸν αὐχένα, τὸ δὲ ἄλλο αὐτοῦ σῶμα πᾶν ζοφῶδες τυγχάνει, καὶ δείκνυνται ἀστέρες ἐπ' αὐτοῦ· κεφαλὴ δὲ ἄνευ τῶν ἀστέρων ἐοικυῖα δείκνυται τῷ λοιπῷ σώματι. ἔστι μέντοι αὐτοῦ τὸ δῆγμα ἐπαλγὲς, καὶ παραπλήσιον τοῖς τῶν ἄλλων.

Vers. 752—758. Ἐπὶ τούτοις ἐστὶ φαλάγγιον, τὸ μὲν χρῶμα κανθάρου παρέχον, ἄλλως δὲ οὐ μέγα· ἐν τῇ Αἰγύπτῳ περὶ τὰ σπέρματα τούτων πλῆθός ἐστι πολὺ, καὶ τοῖς

---

3 Editum αὐτῶν.

θερίζουσιν ἐμφύεται, καὶ ὀδύνην παρέχει τὸ δῆγμα. φλυκταινῶν τε γὰρ ἐπαναστάσεις τὸν δηχθέντα ἴσχουσιν ἰσχυραὶ, καὶ ἡ καρδία πηδᾷ, καὶ φρονεῖ ἀλλοῖα, καὶ φθέγγεται μανικὸν, καὶ οὐ μόνον ἡ γλῶττα τοῦτο, ἀλλὰ καὶ οἱ ὀφθαλμοὶ ὑπόθερμόν τι καὶ μανικὸν τοιοῦτον βλέπουσι.

Vers. 759—768. 4 Τοὺς λεγομένους κεφαλοκρούστας ἡ Αἴγυπτος τρέφει· εἰσὶ δὲ παραπλήσιοι τῇ φαλαίνῃ. αὕτη δὲ μεταδιώκει μὲν ἀεὶ τὸ τοῦ λύχνου φέγγος, ἔρχεται δὲ δειπνούντων, οἱ 5 δὲ καὶ κατὰ τὴν ὥραν, ἐν ἥπερ ὁ δρόμος ἄρχεται τῆς νυκτός. ἔχει δὲ ὁ κεφαλοκρούσης τὰ μὲν πτερὰ στενὰ καὶ χλωρὰ, καὶ οἷα κεκονιαμένην 6 τὴν χροιὰν ἔχοντα. κεκονιμένας τοιγαροῦν τὰς χεῖρας ἴδοις ἂν πολλάκις τοῦ προσαψαμένου τοῦ κρανοκολάπτου. οὕτω γὰρ αὐτὸν καλοῦσιν οἱ ἐπιχώριοι. γεννᾶται μὲν οὖν οὗτος ὑπὸ ταῖς περσίαις, τὴν δὲ κεφαλὴν κεκλιμένην ὡς ἑτέρως ἔχει, καὶ ἐπ' αὐτῆς ἀνέχει τὸ κέντρον, καὶ κρύπτειν αὐτὸ πειρᾶται ὑπὸ τὸν αὐχένα. βαρύνεται μέντοι τὴν γαστέρα, καὶ τὸ πλῆγμα αὐτοῦ εὐπετῶς εἰς θάνατον φέρει.

Vers. 769—771. Τὰ δὲ δὴ κατὰ τοὺς σκορπίους λεκτέον ἤδη 7 ἅττά ἐστι· κέντρα ἔχουσιν, οἷς παίουσι· καὶ λίαν ἀλγοῦσιν οἱ πληγέντες· ἔπειτα δὴ τούτων ὁ μέν ἐστι λευκὸς, βλαβερὸς δὲ ἧσσον.

Vers. 772—774. Ὁ δέ γέ τοι πυῤῥὸς ὡς ὅτι μάλιστα ἐπώδυνος. τὸ γὰρ πλῆγμα οἷον ἀπὸ τοῦ πυρὸς καιόμενον

---

4 Caput in Vindob. inc. *Τους κεφαλοκρουστας οι λεγονται η αιγυπτος τρεφει. εισι δε οι κεφαλοκρουσται παραπλησιοι τη φαλλαινη κ. τ. λ. Bandini.*

5 An ἡ δέ?

6 Vind. *κεκονιμενην* et ante *τοιγαροῦν* inserit *κεκονιμενας.*

7 Pro *λεκτέον εἴδη* habet *λεκτεον γαρ ηδη περι αυτων τοιαυτα.*

τὸν πληγέντα εἰς αἴσθησιν ἄγει, καὶ φλεγόμενόν τε ἐστὶν ἰδεῖν δεινῶς ὑπὸ δίψους αὐτὸν καὶ ἀπολλύμενον.

Vers. 775—776. Ὁ δὲ δὴ τρίτος, ὃν ζοφόεντα κεκλήκασιν, οἶμαι, ἐστὶ 8 τοιοῦτος. μεγάλων ἐμπίμπλησι τοὺς πληγέντας κακῶν. ὀδυνῶνταί τε γὰρ πάνυ σφόδρα, καὶ παραπαίουσιν οἱ τοιοῦτοι, καὶ γελῶσι πλατύ.

Vers. 777 — 781. Ἐὰν δὲ ὁ χλωρὸς οὗτος πλήξας τύχῃ τινὰ, ὄψει δὴ καὶ τοῦτον ἐχόμενον μεγάλῃ μὲν φρίκῃ, καὶ οἷον ἀπὸ χαλάζης ἐπαιωρηθείσῃ. ἢν δὲ καὶ, ὅταν ὁ ἥλιος αὐτὸς ὢν οὗτος ἑαυτοῦ θερμότερος τύχῃ, ὑπὸ τῷ τοῦ σκορπίου τις τῷ τούτου πλήγματι γένηται, οὐκ ἂν μὴ ῥιγῶντα καὶ τοῦτον ὡς χειμῶνος ὄψει. τὸ μέντοι κέντρον αὐτοῦ κοπίδι ἔοικεν, καὶ ἐννέα εἰσὶ τοῦ νώτου ἄχρι τῆς ἄκρας οἱ σφόνδυλοι.

Vers. 782—785. Ὁ δὲ ἐμπέλιος τῶν σκορπίων γαστέρα μὲν μεγάλην ἔχει, ποηφάγος δέ ἐστιν ἄλλως, καὶ σιτεῖται τὴ γῆν· τὸ δὲ τοῦ πλήγματος αὐτῷ λιμὸν 9 ἐμποιῆσαι, ὁτῳοῦν βαρύτατόν ἐστιν.

Vers. 786—787. Σκέψαι δὴ καὶ τοῦτον τὸν σκορπίον, ὡς προσφερής ἐστι τῷ καρκίνῳ, οὗ τὴν νομὴν ἴσασιν ὑποδεχόμενοι αὐτὸν πολλοὶ τῆς θαλάττης αἰγιαλοί.

Vers. 788 —796. Παγούρῳ δὲ ἔοικεν ὅδε, τῷ καὶ πετραίῳ καρκίνῳ προσαγορευθέντι, ὁ σκορπίος πάντῃ. βαρεῖται δ' οὖν οὗτος ὑπὸ σαρκῶν, καὶ ἐστὶ ταῖς χηλαῖς κατάσκληρος, καθάπερ ἐκεῖνος ὁ καρκῖνος. μεταβάλλειν 1 γὰρ

8 εστι γαρ.

9 αυτου λιμον. Editum λοιμόν. An fuit τὸ δὲ πλῆγμα αὐτοῦ λιμὸν ἐμποιήσει καί? Sed locus non integer esse videtur.

1 An fuit μεταβάλλει γὰρ οὗτος εἰς αὐτόν?

οὗτος αὐτὸν, καὶ σκορπίον ἐκ καρκίνου γίγνεσθαι, ἁλιέων παῖδες ἡμᾶς διδάσκουσι ταῦτα. ἐπειδὰν γὰρ, φασὶν, οἱ καρκῖνοι ἐναλλάξωσι τὴν δίαιταν, καὶ τῆς θαλάττης καὶ πετρῶν καὶ βρύων τῶν ἐν τῇ θαλάττῃ ἀναγκασθῶσιν ἐκχωρῆσαι, πάσχουσι δὲ αὐτὸ δικτύοις περιβαλλόμενοι, καὶ ἔξω φέρονται βίᾳ ὑπὸ τῶν τὸν ἰχθὺν [τὸν] δεῦρο ποιουμένων θήραν, ἐνταῦθα ἔξω γενόμενοι, καὶ μετασχόντες τῶν ἐν τῇ γῇ, ἔπειτα κατά τινων ἐλθόντες φωλεῶν, καὶ δύντες ἀποθανόντες, οὐκ εἰς μακρὰν σκορπίους ἐκ τῶν ἐλύτρων ἀνῆκαν φέρεσθαι τῶν ἑαυτῶν. λωβῶνται μέντοι τὸ σῶμα, ἥν τινος ψαύσωσιν ἠρκότες τὸ κέντρον.

Vers. 797—804. Μελίχλωρός ἐστι σκορπίος, καὶ ὀνομάζεται ἀπὸ τούτου· ἔχει γὰρ τὴν χροιὰν κηρίνην, καὶ τὸ ἄκρον μελαίνεται τῆς οὐρᾶς. ἔστι δὲ τὸ δῆγμα χαλεπὸν μὲν πᾶσιν οὗτος, μάλιστα δὲ παισὶ, καὶ εἰς τὸν θάνατον τοὺς παῖδας παρὰ μικρὸν ἄγει. οὗτος οὖν ὁ σκορπίος, καὶ γὰρ πτερὰ ἔχει, καθίπταται τῶν πυρῶν, καὶ νέμεται τούτους, καθάπερ ἡ ἀκρίς. τῆς δὲ Καρίας ἐν Πηδάσοις ὁ σκορπίος οὗτος, καὶ παρὰ τὸν Κισσὸν ταύτῃ που γίνεται τὸ χωρίον.

Vers. 805—810. Ἐπίσταμαι δὲ κἀκεῖνο, ὅπως ἂν ἀπέλθοι θεραπευθεὶς καὶ ὁ πληγεὶς ὑπὸ τοῦ βέμβηκος. ὁ γὰρ βέμβηξ οὗτος τυγχάνει μὲν τὸ πλῆγμα ὡς ὅτι μάλιστα ἐπώδυνος, ἀποθνήσκει δὲ παραυτίκα, ὅτι τὸ κέντρον ἐξερύσαι πλήξας ἔτι οὐχ οἷός τέ ἐστιν, ὥσπερ οὖν οὐδὲ αἱ μέλιτται διαφυγγάνουσι τὸν θάνατον, ἀποβαλοῦσαι τὸ κέντρον, αὐτίκα τοῦ πλῆξαι ἀμύνασθαί σφισι τὸν μελιττουργὸν αὐταῖς. 2 ἐπειδὰν δὲ ἤσῃ 3 οὕτως, οὐδὲ ὁ βέμβηξ ἄρα τοῦ

2 Deesse hic verba aliquot, structura verborum laborans etiam docet. 3 Ita Vind. εἴσιν Medic.

*κέντρου στερηθεὶς ἔτι ζῆν δύναται, ἀνώλεθρος μὲν γὰρ διαμένει· περισώζων αὐτὸ, ἄκεντρος δὲ ἐπειδὰν γένηται, ὁ θάνατος ἐπιλαμβάνει αὐτόν τε ὁμοίως καὶ μελίττας ἀποβαλούσας ἐν τῷ πλήττειν καὶ ταύτας τὸ κέντρον.*

Vers. 811 — 814. * *Οἶδα δὲ ὡσαύτως ἐγὼ καὶ ὁ ἴουλος μὲν ὅπως πλήττει, ὅπως δέ γε ὁ σφὴξ, καὶ ἰάσαιτ' ἄν τις ὅπως αὐτὰ, καὶ τὸ τῆς τενθρηδόνος κέντρον καὶ τὸ τῆς ἀμφικεφάλου σκολοπένδρης δῆγμα, ἢ καθ' ὁποτέραιν ἂν τρώσας τύχῃ ταῖν κεφαλαῖν, πολλάκις ἀναιρεῖ. ἔχει δὲ συνεχεῖς τοὺς πόδας καὶ ἔοικεν ἐρεττομένῃ πολλῶν ὑπὸ κωπῶν ἤδε κινουμένῃ νηΐ.*

Vers. 815 — 816. *Τυφλὴ δέ ἐστιν ἡ μυγαλῆ φύσει, ὀλέθριόν τε τὸ ταύτης τοῖς ἀνθρώποις ἐστὶ καὶ ἀναιρεῖ δῆγμα. λόγος δὲ καὶ ταύτην ἀπόλλυσθαι, ἁμάξης ἣν τύχῃ παρελθούσης ἐπιστῇ*4 *τοῦ ἴχνους ἡ μυγαλῆ, ὁπόθεν ὁ τροχὸς διέρχεται.*

Vers. 817. *Περὶ δὲ τῆς σηπὸς*5, *ἣν οὕτω λέγουσιν, ὑπόχαλκός ἐστι τὴν ἰδέαν. σαύρας δὲ οἷον ἂν ἴδοις τῆς μικρᾶς, ἔστι τὸ μέγεθος αὐτῆς, καὶ τὸ δῆγμα ὁμοίως πονηρόν.*

Vers. 818 — 821. *Χαλεπὸν δέ ἐστι θηρίον καὶ ἡ καλουμένη σαλαμάνδρα. ἀδικεῖται δ' οὖν ὑπὸ πυρὸς οὐδὲν, ἀλλὰ ἐν τούτῳ διαιτᾶται, καὶ μένει παρὰ τῷ πυρὶ, καὶ διέρχεται ἀβλαβῶς, καὶ τὸ δέρμα ἡ σαλαμάνδρα πᾶν κατάστικτον ἔχει.*

Vers. 822 -- 827. *Καὶ ὁ βυθὸς τρέφει τῆς θαλάττης*

---

* Hoc caput deerat in Mediceo. *Bandini.*

4 Vitiosa haec sunt. An fuit *ἐπιστᾶσα*?

5 Inscriptio Medicei habet *Περὶ τῆς σηπιος καὶ σαύρας.* Vindob. *σηψ σαυρος.* Deinceps editum erat *τῆς σηπίος.*

ζῶα, καὶ λυμαίνεται τῶν ζώων τούτων τοῖς ἀνθρώποις τοίνυν τινά 6. ἡ σμύραινα τοῖς ὀδοῦσι κακὰ ἐργάζεται, καὶ οἱ πάσχοντες ὑπ' αὐτῆς εἰσιν οἱ ἁλιεῖς τὰ δεινά. μετὰ γὰρ τὴν θήραν ἐξορμῶσα, καὶ οὗπερ ἐτάχθη πολλάκις κατὰ χώραν πλοιαρίου μένειν, ἐμφύει τοὺς ὀδόντας τοῦ ἀσπαλιευτοῦ τῷ σώματι, ἵναπερ ἂν τύχῃ. λέγεται μέντοι περὶ τῆς σμυραίνης ἄρα καὶ ὅδε ὁ λόγος, ὅτι δὴ τὰς ἐν τῇ θαλάττῃ καταλιμπάνουσα διατριβὰς, ἐπὶ τῆς γῆς ἔξω 7 ἔρχεταί τε εἰς ὁμιλίαν, καὶ φοιτᾷ παρὰ τὸν ἔχιν, οἷον ἐρωμένη πρὸς ἐραστήν.

Vers. 828—836. *Καὶ μὲν δὴ τὸν πληγέντα εἰς θάνατον ὑπὸ τῆς τρυγόνος ἐπίσταμαι σώζειν.* ἐπίσταμαι καὶ τὸ δράκοντος ἐξαρπάζειν τὸν τυπέντα δεινῶς. ἀλλ' οὐκ ἐκείνου ἐν τῇ γῇ λέγω δράκοντος, ἀλλὰ τοῦ ἐνύδρου. πλήττουσι δὲ ἐνσχεθέντων ἐπειδὰν τοῖς δικτύοις ἀπαραφυλάκτως τινές ποτε προσάψωνται τοῖς ἐνύδροις. αὐανθείη μέντ' ἂν καὶ φυτὸν καὶ φύλλων ἔρημον καταστταίη, κἂν πάνυ εὐθαλλῇ, τρυγόνος αὐτοῦ κατὰ τοῦ πρέμνου ἐνπαγέντος κέντρου· ὑπὸ τοῦ ἡλίου πιστεύσειεν ἄν τις αὐτὸ γεγονέναι ξηρὸν, ἐνορῶν τοῖς κλάδοις. τὸν αὐτὸν δὴ τρόπον καὶ τοῦ τυπέντος σάρκες ὑπὸ τῆς τρυγόνος οὐκ εἰς μακρὰν διαφθείρονται. ἔχει δέ τις λόγος ὧδε καὶ τὸν τοῦ Λαέρτου πληγέντα τρυγόνος ὑπὸ θαλαττίας κέντρῳ ὑπὸ Τηλεγόνου ἀποθανεῖν.

Vers. 837—847. *Καθ' ἕκαστον τοίνυν ὡς οἷόν τε τῶν πρὸς ταῦτα βοηθημάτων τοὐντεῦθεν λεκτέον τῶν δυσχερῶν.*

---

6 *τινά* addit Vind. Puto fuisse scriptum *ἀνθρώποις τινά· ἡ σμύραινα τοίνυν.*

7 Inter *ἔξω* et *ἔρχεται* haec leguntur, *και τα της γης παλιν χωρεια πρεπεται. Bandini.*

εἴη δ' ἂν ἔχουσα ἡ ἄγχουσα οἰκείως πρὸς τὴν τῶν λεχθέντων βοήθειαν, ἡ τὰ φύλλα τοῖς φύλλοις τῆς θριδακίνης μιμουμένη, εἰ μετὰ τῆς πενταφύλλου ἐπιλεγομένης λαμβάνοιτο, καὶ τοῦ ἐρυθροῦ τῆς βάτου γιγνομένου καρποῦ, ἀρκτέον τε ἡ βοτάνη καὶ ὀξαλὶς, ἠδὲ καὶ ἡ τὸ ὅρμενον φέρουσα πρὸς τούτοις λύκαψος. κίχαμός τε ἐν αὐταῖς καὶ τὸ ὀρίδαλλον. καὶ ἡ χαμαίπιτυς, τῆς τε δρυὸς ὁ φλοιὸς ἅμα ταῖς ῥηθείσαις εἰ μιγείη. καὶ καύκαλις ἔτι μὴν καὶ σπέρμα ὁμοίως σταφυλίνου, καὶ καρπὸς τερμίνθου χλωρὸς, καὶ φῦκος ἄβροχον θαλάττιον, καὶ τὸ ἀδίαντον καθαρόν· τοῦτο δὲ ἐν ᾧ μὴ ὕει συμβάλλοις καιρῷ· ὕοντος δὲ τὸ ἀδίαντον ἀπέχου συνάγειν. ἐπὶ τοῖς φύλλοις ἐνιζάνειν τούτου δὲ ὁ ὄμβρος πέφυκεν.

Vers. 848—852. Ἀλλὰ γάρ τοι καὶ τὸ σμύρνιον ἀνθοῦν διηνεκῶς οἰκείως ἔχον εὕροις ἂν εἰς τὴν τούτων χρείαν, καὶ τὴν ἀεὶ θέρεσθαι ὑπὸ τοῦ ἡλίου φλεγομένην ἠρυγγίου ῥίζαν 8. ἔτι μὴν καὶ ἡ καχρυφόρος λιβανωτὶς ὡσαύτως ὠφελεῖ, καὶ [ἡ] ἀπαρίνη σὺν ταῖς ἄλλαις, καὶ ἡ κολυβατία καὶ μήκων ὁμοίως ἡ βοτάνη, καὶ ἄλλη θυλακὶς λεγομένη καὶ πεπαιτις 9 ἄλλη βοηθεῖν ἱκαναί.

Vers. 853—855. Κλῶνές τε δὴ κράδης ἀρτιφυεῖς ὅλοι, ὄλυνθοί τε ἐρινεοῦ, οἳ πρὸ τῆς ὀπώρας πεπαίνονται, εἰσὶν ἐπωφελεῖς.

Vers. 856 — 859. 1 Παραληφθείη δ' ἂν ὑπό σου εἰς

---

8 Deest verbum, veluti φιλουμένην aut εἰωθυῖαν.

9 In textu poetae est ἐπίτηλις. An fuit κεραΐτις?

1 Titulus habet inscripta nomina πεπεριτις, κραδη, πυράκανθος. Videtur igitur πεπεριτις referri ad vitiosum πεπαιτις, quod intactum reliqui.

ταῦτα καὶ ἡ πυράκανθος 2 καὶ ἄνθος τῆσδε ἄῤῥενος φλόμου τῆς βοτάνης, αἰγίλοπός τε μετὰ τούτων καὶ χελιδόνιον. δαῦκός τε ὁμοίως. εἶτα πρὸς ταῖσδε δὴ βρυωνίας ῥίζα, ἢ τήν τε ἔφηλιν καὶ τὰς λεύκας τὰς ἀπηχθημένας ταῖς γυναιξὶν, ὅτι μὴν τοῦ κάλλους παραιροῦνται, ὑπὸ φύσεως 3 ἔλαχεν ἀπαλλάττειν.

Vers. 860—872. Περιστερεὼν δέ τις κέκληται βοτάνη καὶ ῥάμνος οὕτω φυτόν τι προσαγορεύεται· τοὺς κλάδους ἅμα τῇδε βοτάνῃ τῆς ῥάμνου λάμβανε. ἀγαθὴ γάρ ἐστιν οὐ μόνον ἀρήγειν τοῖς δηχθεῖσιν, ἀλλὰ καὶ παντοίας ἄτης 4 σχεδὸν ἀπαλλάττειν ἐστὶ ῥάμνος ἀνθρώπους ἱκανή. Ἔτι μὴν καὶ ἡ παρθένιος, ἐπειδὰν ἐν ἄνθει οὔσης αὐτῆς τοῖς κλάδοις προσχρήσῃ, πρόσφορον γίγνεται εἰς τὸ σώζειν. καὶ κίχορον ἄλλη καὶ μίλτος ἑτέρα τις κέκληται βοτάνη. φύεται δὲ εἰς πλῆθος ἡ μίλτος παρὰ τοῖς Βοιωτοῖς, καὶ ὄνομα τῇδε ἐπιτεθείκασι νηπενθὴς, ὅτι περιορᾷν οὐχ οἷά τέ ἐστιν ἀνθρώπους ὅλως κρατουμένους λύπῃ, ἀλλὰ ὑπεξάγει τῆς μνήμης τῶν δεινῶν εἰς λήθην ἕλκουσα κατὰ μικρὸν, ἔπειτα τὴν ψυχὴν εἰς τὸ τῆς εὐφροσύνης ἀγαγοῦσα ἔστησεν παρ' αὐτὰ χαίρουσαν χωρίον. ὁ δέ γε ἄγριος σικυὸς πικρὰν μὲν τὴν ῥίζαν τοῖς γευομένοις παρέχεται, τοῖς δὲ διαχωροῦσαν μηδαμὰ ἔχουσι τὴν γαστέρα πάνυ ἐπωφελής. ὑπεκλύει γοῦν ἐπιδοθεῖσα ἡ ῥίζα, καὶ διακαθήρασα τὸν κακοπαθοῦντα ἐπὶ τὸ κατὰ φύσιν αὐτὸν παντελῶς ἤγαγεν. καὶ ὁ καρπὸς

---

2 Post πυράκανθος in edito sequuntur puncta 6, deinde litera τ, post iterum puncta 3, inde littera δ cum punctis 5. In annotatione Bandini refert, litteras esse perforatas. Suppleui, vt potui, lacunam.

3 In edito ὑπὸ deerat.

4 Editum ασης.

τοῦ παλιούρου, ἀλλὰ τοῦ τραχέος, νεωστὶ ἀνθοῦντος, σὺν αὐτοῖς τῆς ῥοιᾶς τοῖς ἄνθεσιν καὶ αὐτοῖς τοῖς φύλλοις. καὶ ὕσγινος[5] ἡ βοτάνη, ὕσσωπόν τε ἐπὶ τούτοις καὶ ὄνωνις πάλιν. πολύκλωνος δέ ἐστιν ἱκανῶς ἡ ὄνωνις ἥδε καὶ ... δεσθαι τους ... ων ..... υτ .. ν ... το[6] τούτου ποιεῖ.

Vers. 873—878. Ἔστω δὴ καὶ φύλλα τηλεφίου καὶ νεωστὶ πεφυτευμένης ἐν βότρυσι ἡμερίδος κλῆμα, σπέρμα τε κορίου τῆς ἀγρίας, καὶ σκόροδον, καὶ ἡ τὰ φύλλα τὰ λεπτὰ ἔχουσα κόνυζα, καὶ κάρδαμόν τε ἐπὶ τούτοις περσικὸν πίνε· πίνων γὰρ πήσει φλαῦρον οὐδέν. ἔστι δὲ πεπερίνου τὸ φυτὸν, ἀφ' οὗ τὸ πέπερι. τὰ φύλλα τούτου κόψας μετὰ πάντων σῶζε. γλήχων δὲ ἡ πλεῖστα τὰ ἄνθη φέρουσα, καὶ σίνηπι, ἐπί τε τούτοις καὶ ἡ στρύχνος ὁμοίως διασώζειν ἱκανὰ καὶ ταῦτα τοὺς τρωθέντας ἐστί.

Vers. 879—880. Ἄγε δὴ καὶ τὸ ἐν τοῖς κήποις αὖθις γιγνόμενον πράσον καὶ σπέρμα κνίδης[7] νῦν ἐγὼ τῆς βοτάνης λέγω, ἐκείνης ἄρα τῆς βοτάνης, ἧς οἱ παῖδες, ἐπειδὰν παίζωσι κατ' ἀλλήλων ἐρχόμενοι, σφᾶς παίουσι τοῖς φύλλοις, καὶ γέλωτα δὴ τὸ ἐντεῦθεν αὐτοί τε ἔχουσιν οἱ παίζοντες, καὶ σφᾶς τοῖς ὁρῶσι παρέχουσιν, ὅτι προσαψαμένης αὐτοῖς ὁπωσοῦν οἱ παῖδες τῆς βοτάνης ταύτης γελῶντες ἀνιῶνται δῆθεν.

Vers. 881—884. Καὶ μέντοι καὶ λευκοτάτη κεφαλὴ τῆς σκίλλης, καὶ τῶν βολβῶν τὰ ξηρὰ, καὶ ἧς τὸ ὄνομα δρακοντίας βοτάνης καυλεῖα, καὶ ἀσπάραγος ἢ φύεται πλησίον τῆς ῥάμνου καὶ αὐτῆς τῆς ῥάμνου ἀσπάραγος, εἶτα καὶ ὁ

---

5 Editum υστινος.

6 Vbi puncta apposuimus, litterae sunt perforatae. *Bandini.*

7 Editum κνειδων.

καρπὸς τῆς πεύκης, ὥς ἐστιν οὗτος νεαρὸς καὶ συνεστραμμένος ἐπαιωρούμενος τοῖς κλάδοις.

Vers. 885 -- 886. Τυγχάνει μέν τοί τις βοτάνη, καὶ τῷ κέντρῳ παρέοικεν ἡ ταύτης τοῦ σκορπίου ῥίζα, ἢ σκορπίου μὲν ὕπο τοὺς τρωθέντας οὐκ ἐᾷ σίνεσθαι, ἀλλὰ θεραπεύει· καλοῦσί γε μὴν σκορπίουρον τὴν βοτάνην τήνδε, ὅτι τοῦ θηρίου τούτου τῷ κέντρῳ ἔοικε τὴν ῥίζαν.

Vers. 887 -- 906. Ἑτέρα δὲ πάλιν τυγχάνει κἀνταῦθα βοτάνη, καὶ καλεῖται σίδη. ὁ καρπὸς ὁ ταύτης κόκκοι εἰσί· ὑπάρχουσι δὲ ἐρυθροί, καὶ γίγνεται ἡ βοτάνη ἡ τῆς Βοιωτίας μὲν ἐν Ψαμάθῃ, παρὰ δὲ ποταμὸν, πρότερον μὲν Σχοινέον οἱ πάλαι ἐκάλουν, Ἰσμηνὸν δὲ οἱ ἐπιχώριοι μετὰ ταῦτα αὐτῷ ὄνομα ἔθεντο. παρὰ τοῦτον φύεται πολλὴ τὸν Ἰσμηνὸν ἡ σίδη καὶ μὴν καὶ ὁ Κνῶπος 8 ἄγει. Καὶ ὁ Χοάσπης ποταμὸς ἀρώματα φέρει. σὺν ταύταις μίγνυε καὶ πιστακίων ἀκρέμονας. ταῖς σμικραῖς ἀμυγδαλαῖς ὁ τῶν πιστακίων πως παρέοικε καρπός. καυκαλίδες τε καὶ μύρτα καὶ ἁρμινθος 9 ἡ βοτάνη, καὶ μάραθον χλωρόν. ἔτι μὴν τοῖσδε παρέστω σοι καὶ ἐρύσιμος βοτάνη, καὶ τῶν ἀγρίων ἐρεβίνθων ὁ καρπὸς βαλλέσθω σὺν αὐτοῖς τοῖς κλάδοις, ὀδμὴν δὲ βαρεῖαν ὁ ἄγριος οὗτος ἐρέβινθος ἔχει, καὶ ἐστιν ἐπαχθής. σισύμβριόν τε δὴ καὶ τοῦτο ἐπειδὰν ἐν τῇ ὥρᾳ τοῦ ἄνθους γένηται· ὠφελιμώτατον γὰρ τοῖς τρωθεῖσιν καθίσταται λίαν. ἀτὰρ οὖν δὴ καὶ τὸ μελίλωτον ἐξ ὑπογυίου συγκομισθὲν, καὶ ἡ οἰνάνθη δὲ τοῦ ἀνθεῖν ἐπειδὰν

---

8 Inter *η* et *ινοπος* superscriptum est *δων*. *B.* Editum *η σειδη μηνὶ και η ινοπος αγει.*

9 Textus *ὁρμίνοιο* habet.

καὶ ἥδε ἐντὸς ἢ τοῦ τῆς ὥρας ἄνθος 1. βοτάνη δέ ἐστιν ἡ οἰνάνθη καὶ φιλεῖται ὑπὸ τῶν αἰπόλων, ὅτι τοὺς αἶγας, ὡς οἶμαι, πιαίνειν ἱκανὴ εἰς τροφὴν παραβαλλομένη τοῖς κτήνεσι τούτοις ἡ οἰνάνθη αὕτη. λυχνίς τε ἅμ' αὐταῖς καὶ θρυαλλίς· βοτάναι δὲ ἄμφω 2. ῥόδον τε δὴ καὶ τὴν τὸν πλεῖστον κ.... δη 3 καρπὸν κομίζουσαν, ἣν ὄνομα ..... λευκόϊον μὲν λέγω ὑπό σου γιγνέσθω. ἀλλὰ γὰρ ταττέσθω πρὸς ταῖς οὔσαις καὶ ἡ λεγομένη ψίλωθρον παρ' ἐνίων πόα, καὶ ἢ τὸ ὄνομα ὑάκινθος ἐτέθη, βοτάνη ἀνθοῦσα τοῖς ἐν τῇ χρείᾳ τῇ τούτων τυγχάνει προσφερής. φιλοθρηνὴς δὲ ὑπ' ἐνίων ἡ αὐτὴ λέγεται, καὶ τίνος ἕνεκα λέγεται, ἥδε ἡ αἰτία βοᾷ. Ὅτι Ὑάκινθον ὁ Ἀπόλλων παίζοντα παρὰ τὸν Εὐρώταν δίσκῳ ἀπέκτεινεν, ἀλλὰ οὐχ ἑκὼν αὐτόν· τοιγαροῦν 4 θρηνεῖται ὑπ' ἐκείνου πολλὰ, καὶ φιλοθρηνὴς πρὸς τῶν πολλῶν, ὡς ὁ λόγος λέγει, ἐξ ἐκείνου τῇ βοτάνῃ τοὔνομα ἐτέθη.

Vers. 907—914. Ἄγε δὴ μετὰ τῶν λεχθέντων τίθει καὶ τὸ καλούμενον τρίφυλλον, καὶ τὸν τοῦ ὀπίου χυλόν. ὁ σταθμὸς τρεῖς ὀβολοὺς ἕλκων ὑπαρχέτω τοῦ ὀπίου τούτου. καὶ τὸν ἐοικότα τῷ κρόκῳ ἕρπυλλον, ὁμοίως καὶ κρῆθμον καὶ χαμαικυπάρισσον ἅμα ἀννήσῳ καὶ σιλφίου ῥίζῃ τρίβων εἰς ποτὸν τοῖς δηχθεῖσιν δίδου. δίδου δέ ποτε μὲν αὐτὰ μετ' ἀλλήλων μιγνὺς, ποτὲ δὲ ἕκαστον καὶ καθ' αὑτὸ πίνειν, καὶ ἄλλοτε μὲν μεθ' ὕδατος, ἄλλοτε σὺν οἴνῳ, ποτὲ δὲ σὺν ὄξει, καὶ ἄλλοτε πάλιν σὺν γάλακτι· ὅπως γὰρ ἂν καὶ μεθ' οὑτινοσοῦν τούτων ὁ λαμβάνων ἔσται, ἕξει τὸ ἀσφαλές.

---

1 An fuit τῆς οἰνάνθης δέ, τοῦ — ἐντὸς ἢ τῆς ὥρας, ἄνθος?

2 Editum βοτανη δε et puncta 5, postea φω.

3 An fuit κομιδῆ?

4 Editum εχω νυ τον. τοι γαρ ουν.

Vers. 915 -- 920. Ὁδοιποροῦντι δὲ ἢ θηρῶντι ἢ ἐν ὄρει διατρίβοντί σοί που, καὶ ἢ ἐν ἐρημίαις ἢ ἄλλως ἐν ἀνύδροις εὑρεθέντι τόποις ἣν τύχῃ τι τῶν θηρίων τούτων προσψαῦσαν νύγματι, τὰς παρατυχούσας διαμασῶ 5 λαμβάνων βοτάνας. εἶτα τὸν μὲν χυλὸν ἀπόπτυε, τὰ δὲ μασηθέντα ἐπιτίθει ἤδη καὶ κατὰ τοῦ τόπου, ἐνταυθοῖ τὸ θηρίον ἤνεγκεν τὴν πληγήν· παῦλά τε γὰρ τὸ ἀπὸ τούτου σοι τῶν ὀδυνῶν ἔσται, καὶ παντελὴς καταλήψεταί σε τῶν λυμαινομένων ἀπαλλαγή 6.

Vers. 921 — 929. Ἀποφύγοι δ' ἂν καὶ οὕτως ὁστισοῦν ὑπὸ θηρίου πληγεὶς καὶ θεραπευθείη, εἰ ταῖς ὑπὸ τῶν ἰατρῶν λεγομέναις σικύαις ταῖς χαλκαῖς χρήσαιτο, εἶτα ἀθροίσας διὰ τούτων τὸ αἷμα κενώσαι 7 τὸ δεινόν. καὶ μέντοι καὶ τῷ τῆς συκῆς ἢ περσείης ὀπῷ χρώμενος ἐπὶ τοῦ πλήγματος μεγάλα ὀνήσεις, τούτῳ καταχρίων αὐτό, καὶ σίδηρον πεπυρωμένον ἐπιτιθεὶς κατὰ τοῦ νύγματος, καὶ ἀσκοῦ αἰγείου πεπισσωμένου ποδεὼν τὸ σφυρὸν ὁπόταν ἢ τὴν χεῖρα ἢ ἄλλο τι μέρος ᾖ κνισθὲν ὑπὸ τοῦ θηρίου, περιδεσμῶν τούτῳ 8 πάντως ἀπαλλάξει τῆς ἀνίας. ἐξ οἰνηροῦ τυγχανέτω ὁ ποδεὼν ἀσκοῦ, καὶ ὁ δεσμὸς γεγονὼς πρότερον τοῦ ἀσκοῦ γιγνέσθω τηνικαῦτα δεσμὸς τοῦ τρωθέντος μέρους.

Vers. 930 -- 933. Ἐκμυζηθείη δ' ἂν τὸ δεινὸν κἀνταῦθα ὑπὸ βδελλῶν, εἰ προστεθεῖεν αὗταί γε τῷ τυπέντι τούτῳ. ὠφελήσεις δ' ἂν καὶ χυμὸς κρομύου καὶ αἰγῶν ὁμοίως τὸν

---

5 Olim tamen legebatur διασω. Syllaba μα addita est supra sequiori aeuo. *Bandini.*

6 απ αλλα. editum erat.

7 Editum κενωσης.

8 An τοῦτο scribendum?

τρωθέντα τὰ περιττώματα. ἐπιχρισθεὶς μὲν δὴ ἄρα ὁ χυμὸς τῷ ἕλκει, τὰ περιττώματα δὲ μετ᾽ οἴνου τρυγίας φυρασθέντα ἢ ὄξους καὶ ἐπιπλασθέντα.

Vers. 934 — 956. Ἵνα δὴ πάσης ἀμυντικόν γ᾽ ἄσης μαθὼν πρὸς ταῦτα κατασκευάσῃς βοήθημα, λαμβάνων βοτάνας, εἶτα μιγνὺς προσάγῃς ταῖς ἐκίναις, ἀναιροῦ ἀριστολόχειαν καὶ τὴν ἶριν· ἐπὶ δὲ ταύταις καὶ τὴν νάρδον. ἔστι γὰρ βοτάνη νάρδος οὕτω καλουμένη· χαλβάνης τε δὴ ῥίζας, καὶ πύρεθρον ξηρὸν, δαῦκόν τε ὡσαύτως καὶ βρυωνίαν. ἐπὶ ταύταις γλυκυσίδην τε τὴν βοτάνην καὶ ἐλέβορόν τοι τὸν μέλανα, καὶ τοῦτον ἐπειδὰν κατασταίη ξηρός· τό τε ἀφρόνιτρον καὶ κύμινον, κόνυζάν τε δὴ καὶ τὴν ὀνομαζομένην ἀγριοσταφίδα, καὶ δάφνης ἔτι μὴν τὸν καρπὸν, καὶ ἧς τὸ ὄνομα βοτάνης κύτισος, καὶ ταύτην μίγνυε σὺν ἐκείναις βάλλων. ἱππολείχην δὲ λέγεταί τις οὕτω βοτάνη, καὶ ἡ κλῆσις τῶν ἵππων, ὅτι τοὺς λειχῆνας ἥδε θεραπεύειν δοκεῖ. τὸ δ᾽ οὖν μέγεθός ἐστιν αὐτῆς οὐχ οἷα πολὺ τῆς γῆς ὑπερέχειν ἄνω. καὶ κυκλάμινος 9 ἑτέρα. μετ᾽ ἐκείνων ἄρα καὶ ταύταις κέχρησο. εἶτα καὶ μήκωνος ὀπὸν, καὶ ἄγνου μὴν σπέρμα, βάλσαμόν τε δὴ, καὶ τὸ καλούμενον κινάμωμον, καὶ σφονδύλιον ἅμα ἁλσίν· ὀξύβαφον οἱ ἅλες ἔστωσαν εἰς μέτρον οἱ ἐμβαλλόμενοι ταῖς βοτάναις. πρὸς τούτοις καὶ λαγοῦ πυτία, καὶ ὁ ποτάμιος καρκῖνος ἐμβαλλόμενα εἰς ὅλμον ταῦτα συγκοπτέσθω πάντα καὶ μιγνύσθω καλῶς. ὕπερον δὲ ἔστω λάϊνον ὧδε 1 κόπτεσθαι τὰς βοτάνας, τῷ τε χυλῷ τῆς ἀπαρίνης εἰς κύκλων μέγεθος δραχμιαίων ἀναλαμβάνεσθαι. ὁ

---

9 Editum συ^λια μιον.
1 Au ὥστε fuit?

δὲ σταθμὸς ὡσαύτως τούτων τυγχανέτω δραχμῆς. ἡ μέντοι χρεία διδασκέτω τὸ μέτρον ὅσον ἐφ' ἑκάστῳ τῆς δόσεως προσήκει τυγχάνειν. πίνειν δὲ δεῖ τοῦτο καὶ ταῦτα εἰς οἶνον. καθ' ἕκαστον δὲ ἐκλύειν δεῖ τῶν τροχίσκων ἄρα οἴνου εἰς κοτύλας τῶν χρωμένων δύο.

Vers. 957 -- 958. Ἔπη δὲ ταῦτα τῶν Ὁμήρου Νικάνδρου τοῦ Κολοφωνίου, ἐν τῷ τῆς μνήμης ἀποτεθῆναι παρά σοι χωρίῳ, μὴ χεῖρον ἔχοντα δεῦρο νομισθείη ποτὲ, ὦ Ἑρμησιάναξ. 2

---

2 Haec vitiosa et turbata fortasse sic ordinanda fuerint: Ἔπη δὲ ταῦτα Νικάνδρου τοῦ Κ. τῶν Ὁμήρου μὴ χεῖρον ἔχοντα, ἐν τῷ — χωρίῳ, δεῦρο νομισθείη ποτὲ, ὦ Ἑ. sed in fine deesse verbum vnum alterumque videtur.

# NICANDRI THERIACORVM

## VERSIO LATINA.

# NICANDRI COLOPHONII

DE BESTIARVM VENENATIS

MORSIBVS ET ICTIBVS

EORVM SIGNIS ET REMEDIIS

CARMINIS GRAECI VERSIO LATINA PROSAICA.

[*Quae leguntur seclusa intra haec signa ( ), aut nomina graeca sunt, aut interpretationem vocum graecarum continent, si litteris inclinatis scripta, explicationem aliquam addunt. Contra quae intra haec signa [ ] conclusa leguntur, aut scripturae varietatem continent, aut suspecta aut damnata et plane aliena sunt, praecipue si litterae sint inclinatae.*]

Bestiarum tum formas tum noxas e plagis, quibus hominem improuidum percusserint, earumque remedia certa tibi, carissime omnium cognatorum Hermesianax, enarrabo, quae cum didiceris, arator te pastorque et lignator, a bestiis percussi in siluis, consulent colentque.

Vers. 8—20. Fama est, malefica phalangia cum noxiis reptilibus, viperasque et quae sunt aliae innumerae nociuae

bestiae, e Titanum sanguine natas esse, eamque famam prodidit Hesiodus Ascraeus, qui carmina sua considens iuxta ripas Permessi condidit. Scorpium autem aculeo algifico armatum Diana creauit irata Orioni Boeoto, quoniam deam virginem tentare ausus fuerat. Hic scorpius e latebris sub lapide subito existens sceleratum in talo pedis percussit: cuius imago tanquam venantis inter sidera relata, illustris et immota conspicitur.

Vers. 21 — 56. Consiliis meis edoctus facile reptilium omne genus fugabis e locis istis, vbi vel habitaueris vel requiescere aut opus facere volueris, primum quidem suffitu cornu ceruini aut lapidis Gagatis, qui vim ignis aspernatur. Incendes etiam frondem multifidam filicis et radicem sachriferi roris marini cum aequali portione nasturtii aut cornu recentis hinnuli: item graueolens melanthium, aut sulphur, aut aequalem bituminis portionem, aut lapidem Thracium, a fluuio Thraciae Ponto allatum, qui aqua aspersus flagrat, oleo vero restinguitur. Fugabit etiam incensum graueolens galbanum, vrtica, [cneorum, al. scilla] et ligni cedrini (iuniperini) scobes somnumque tibi in terra requiescenti tutum praestabit.

Vers. 57 — 79. Si nox superueniens vsum horum remediorum vtpote laboriosum excludit teque opere fessum membra quieti dare in terra cogit, tum calamintham ad fluminis rapidi ripas crescentem substernes cubili, aut floribus abundantem viticem (lygum) aut graueolens polium, echium, et folia origani, aut montani abrotoni aut serpylli, quod terram humidam perreptat vndique iactis radicibus, viuax et foliis semper comosum: substernes etiam humilem conyzam et viticis (agni) flores albos et acrem onogyrum (anagyrum):

item aspera punicae germina aut recentes asphodeli florentis ramos, solanum, (strychnon) et scyra bubulcis odiosa, quoniam vere degustata vaccas exsultare et in venerem ruere faciunt: etiam peucedani odor bestias fugat et occurrentes arcet. Has igitur plantas strato in agro cubili compone, partim cubilibus et latebris bestiarum inde et appone.

Vers. 80 — 97. Quod si baccas cedri (iuniperi) in vase figlino aut olla contriueris [*cum oleo*] atque inde artus pervnxeris: aut si peucedani graueolentis aut conyzae montanae folia sicca cum oleo contriueris: item saluiam (elelisphacum) et radicem silphii rasam, arcebis bestiarum noxas. Saepe etiam saliuae humanae odore terrentur. Si eruca hortensi, dorso viridi, aut maluae agrestis fructu nondum explicato, cum oleo [*aceto*] tritis corpus perunxeris, tutum a morsu bestiarum somnum duces. Potes etiam duos abrotoni frondentes ramos in mortario cum nasturtio pondere oli et fructu dauci, quantum manus capit, conterere pistillo: hinc formabis trochiscos in vmbra loco ventoso siccandos: deinde siccos in vase comminue, et liquatis in oleo corpus perunges.

Vers. 98 — 114. Bestias (viperas) in triuiis captas, dum coitu commiscentur, si ollae indis, et species sequentes addis, habebis medicamentum aduersus reptilium venena et noxas egregium: addes igitur medullae ceruinae recentis triginta drachmas, cum tertia parte olei rosacei et pari pondere olei albi omphacini, et cerae quarta parte. Haec omnia vasi rotundo indita coque, donec carnes a spinis separatae defluxerint: et secerne spinas, quibus venenum inest; deinde trua sumta omnia bene cum serpentibus permisce. Hinc perunges corpus, seu tu iter ingrediaris, seu cubitum eas, si-

ve aestate post messem succinctus frugum aceruum altum furca purgare velis.

Vers. 115 — 144. Sin corpore non delibuto bestiis noxiis occurras ieiunus adhuc, cum maxime morsus reptilium homini nocet, his tamen meis consiliis obsecutus facile malum vitabis. Feminam harum bestiarum, quae occurrentibus venenum multo grauius et citius mortiferum morsu infert, agnosces capite tractu corporis maiore. Praecipue aestate bestiam decet vitare sub ortum Pleiadum, qua versus tauri caudam paruae mouentur: aut cum ieiuna et sitibunda apricans ante latibulum cum pullis cubat: aut cum ad pastum properat aut e pastu satura et dormitura ad cubile redit. Caue etiam occurrere in triuio viperae mari (echii) liventi, dum effugiens morsum letalem coniugis fuliginosae furit: quae maris coeuntis caput morsu solet appetere: quam iniuriam pulli nascentes vlciscuntur, dum matrem erodentes ventrem eius occidunt. Sola enim vipera (echidna) vivum edit partum: ceterae serpentes oua edunt et excludunt. Caue porro occurrere serpenti, cum deposita senecta (exuviis positis) rediit ad iuuentutem, aut cum ceruorum vestigationem vitans latebris profugit et hominem morsu adoritur: nam cerui et capreae diligenter omnia serpentium lustra et cubilia perquirunt et narium afflatu extrahentes bestias latentes deuorant.

Vers. 145 — 156. Etiam Othrys mons (Thessaliae) asperet niuosus fert bestias venenatas, quae habitant valles cauas, asperas salebras et iuga siluosa, vbi degit seps siticulosus, colore varians, quem loco, quem habitat, similem semper gerit. Ex hoc numero aliquae, lapidum aceruos quae habitant, paruae, sed asperae et igneae, quarum morsum nemo

impune tulerit: aliae saxis, quae habitant, simili corpore sunt: aliis viridescentes squamae longum corpus variegant: multae denique arenis sunt concolores.

Vers. 157 — 189. Disce iam horrentem supra aridis squamis aspidem letalem. [*Huic rectus est incessus super longo ventris tractu.*] Corpus habet terrificum visu, sed iter lentum et pigrum, atque oculis veluti somniculosa semper conniuet: at vbi sonum aliquem aut lucem percepit, statim experrecta corpus in orbem contorquet, e medio sublato capite. Longitudo pessimi generis est vlnae aequalis, crassitudo, quanta venabuli, quo cum tauris et leonibus homines decertant. Color interdum per terga conspicitur squalidus, alias luteus et varius, aliquando cinereus, saepe etiam niger et similis terrae Aethiopum, quam Nilus increscens in mare multis ostiis effusus defert. Gemina veluti tubercula in superciliis super fronte eminent: oculi rubent in capite supra spiram multum elato: collum vero inflatur atque intumescit, cum excandescens ira et vehementer sibilans mortem bestia occurrenti viatori morsu infert. Huius maxillis quatuor dentes infra caui, curui et longi infixi et membranacea vagina tecti haerent, vnde venenum letale vulneri infunditur. Hostibus hae pestes occurrant nostris! Nulla in cute vulneris vestigia apparent, nec tumor aut inflammatio sentitur, sed sine doloris sensu percussus, graui somno pressus, perit.

Vers. 190 — 208. Solus ichneumon innoxius aspidis morsum vitat cum ea pugnans, eiusque oua inuestigata deuorans. Forma ei similis est viuerrae (ictidis), quae domesticis auibus (gallinis) insidiata mortem dormientibus

aut oua incubantibus infert. Hic, cum in littoribus Nili iuncosis pugnam cum aspide ingreditur, antea in fluuium desilit et in coeno volutatum corpus quasi loricat, ita vt sole siccatum dentibus aspidis impenetrabile fiat. Tum vero insiliens serpentem aut capite aut cauda dentibus arrepta in aquas proiicit et mergit.

Vers. 209—257. Nosce etiam variam viperae (echidnae) formam et magnitudinem per Europam Asiamque reperiendam. Europa quidem minores fert, super extremis naribus cornutas et subalbidas. Tales habitant montes Scironios, Pammonios, Rhypaeos, collem Coracis et canum Aselenum. Asia vero magnitudine vlnae et longiores etiam alit, quales sunt in aspero Bucartero, Aesagea et Cercapho. Huius generis caput supra latum est: cauda vero ab extremo corpore trahitur mutila et duris horrens squamis: lento incessu fluctuat. Contra vipera mas (echis) omnis caput acutum habet, longitudine varia crassitudine ventris minor· cauda sub extremo corpore longo aequaliter attenuata et squammis attrita aequaliter, quam incedens inuoluit. Oculi irati rubent, lingua vero duplex vibratur. [*Hunc viatores Cocytum vipereum appellant.*] Huius duo dentes venenati in cute vulnerati signantur: plures vero semper echidnae, quae toto ore mordet, ita vt diductis oris habenis dentium signa cuti imprimat. E vulnere fluit sanies oleo similis, alias cruenta, aliquando decolor: caro vero in tumorem viridem, aliquando rubentem, interdum liuidum attollitur: alias humore plena turget, similesque ambustorum bullis erumpunt pustulae frequentes: putria vlcera vulnus ipsum et circa depascuntur: corpus totum exardescit noxa graui; singultus crebri guttur et vuulam

concutiunt: accedit vertigo, membrorum omnium languor et imbecillitas, capitis caligo et grauitas. Sitis aliquando fauces exsiccat, saepe totum corpus frigore perhorrescit, vt grandine impeti videatur. Crebro biliosas ventris collectiones euomit, toto corpore pallens: sudor membra humectat niue frigidior. Color est modo plumbeus, alias aereus, interdum aeris flori similis.

Vers. 258 — 281. Cerasten dolosum viperae mari (echii) similem reperies, praeterquam quod hic mutilus est, ille vero duobus, interdum quatuor cornibus instructus: colore squalidus: latitat inter arenas aut in sulcis rotarum iuxta vias. Praeterea echis recta et contrarius per terram longo ventris tractu properat, cerastes contra obliquo reptatu medio corporis agmine et dorso aspero nixus fluctuat, similis naui contrariis ventis ab itinere recto deflexae et in latus inclinatae. Percussorum vulnus decolor attollitur in tumorem callosum clauo similem, et liuidae pustulae bullis pluuiarum similes circumstant, paruae aspectu. Dolorem minorem affert, [*quam morsus echios*] et percussus vitam vsque ad nonum diem producit. Interim dolor insidet inguinibus et poplitibus, (*lumbis* Eutecnius) color cutis fit liuidus, aegerque animo deficiens aerumnis difficulter mortem effugit.

Vers. 282 — 319. Nunc tibi notas haemorrhoi (i. e. *sanguiflui*) edisseram. Habitat is petrosas rimas durasque macerias, vbi cibo saturatus requiescit, longitudine pedis, ab igneo capite paulatim in latitudinem attenuatus, colore nigro, aliquando igneo, collo stricto: cauda ab umbilico (ano) vsque valde attenuata extenditur. In fronte niuea cornua duo conspiciuntur, oculi locustarum similes oculis: caput horrificum et magnum horret: incessus obliquus et fluctuans

vt cerastae breuis corporis e medio dorso promouet tractum, et dum ventris squamae terrae alliduntur, strepitum edit quasi stramentorum calcatorum. Morsum sequitur statim tumor caeruleus cum dolore ventriculi: qui aqua plenus citatur: nocte insecuta sanguis naribus auribusque et ore erumpit cum bilioso veneno mistus: lotium rubens excernitur; et quacunque corporis parte cicatrix vlla fuerit aut vlcus, ea cute rupta aperiuntur. Ne tibi contingat ab haemorrhoide (*femina haemorrhoo*) morderi; statim enim gingiuae incensae putrescunt dentesque excidunt, et sanguis ex ipsis vnguium radicibus prorumpit. Huic fama est Helenam, a Troia reducem, cum nauem boream fugiens infestum appulisset ad Nili oras et regnum Thonidis, et gubernator Canobus in littore requiescens in collo vulnus ab haemorrhoide pressa accepisset eoque veneno occisus esset, iratam confregisse mediam dorsi spinam, ita vt ex eo tempore haemorrhoi vt cerastae incessu grauentur et claudicent.

Vers. 320 — 333. Sepedonem simillimum cetera haemorrhoo agnosces facile capite mutilo et incessu recto: color est qualis villosi tapetis: caput graue: cauda breuis apparet, quoniam eam bestia reptans extremam implicat. Huius morsum letiferum dolor magnus sequitur, et corpus totum veneni nigri labes depascitur: pili cute siccata defluunt, vt pappi spinarum, ita vt supercilia, palpebrae caputque totum glabrescat; artus autem lentigo et vitiligo deformat.

Vers. 334 — 358. Dipsadem simillimam viperae feminae (echidnae) reperies, sed minorem, et morsu citius necantem: cauda tenuis obscura semper extremitatem atram habet. Mo-

a cor plane incenditur, et labia siti exusta arent: quare ercussus ceu taurus immodice haurit aquas et tamdiu aucibus ingerit sitiens, donec abdomine rupto intestina ffuderit. Fertur fabula, cum patrem Iupiter filius natu naximus coelo depulisset, partito cum fratribus regno, lono dedisse mortalibus iuuentam, quoniam Prometheum ignem suffuratum indicassent: stolidi! nec tamen stultitiae suae fructum vllum tulerunt. Fessi enim itinere munus diuinum impositum asello portant: qui sitiens cum serpentem fontis custodem conspexisset, exorat eum, vt ardentem sitim aquae potu restinguat: ille mercedem officii poscit donum, quod dorso impositum gestabat: hic durae necessitati concedit. Ex eo inde tempore serpentes deposita senecta reiuuenescunt, mortales autem senectute conflictantur: serpens contra asini sitim suscepit, ideoque percussos veneno atrociore cruciat.

Vers. 359 — 371. Chersydri, aspidi similis, morsum maligna sequuntur signa. Cutis arida circa carnem male olentem rupta et putredine redundans madidum indicat vulnus: dolores ignei totum corpus vexant, et per artus huc illuc celeriter vagantur flammae. Hic prius in palude habitans bellum cum ranis gerebat: sed aquis ad fundum vsque siccatis in terram egressus squalidus et decolor apricatur et in viis vibrata lingua sibilans orbitas depascitur.

Vers. 372 — 383. Amphisbaena parua gemino capite instructa oculos paruos (*debiles?*) gerit: vtrinque enim caput et os obtusum longo spatio disiunctum prominet: color velti terrae in cute rimosa punctis variatur. Hanc serpenti adulto, cum primo vere ante cuculi aduentum e latebris prodiit, detractam agricolae et pastores inducunt baculis ex

oleastro decisis: medetur enim perfrictionibus et doloribus torporique articulorum.

Vers. 384—395. Scytale specie similis est amphisbaenae, sed crassior et versus caudam breuem longior: quippe capulum ligonis scytale crassitudine aequat, amphisbaena autem lumbricum intestinorum aut terrestrem non superat. Haec cum appropinquante vere valles et saxorum cavernas reliquit, vbi cetera reptilia terra prodeunt, non depascitur foeniculum, cum exuuias ponit in sole, sed in conuallibus et saltibus latitat dormiens, cibo terrae contenta, nec vnquam ad potum prodiens.

Vers. 396—410. Nosce nunc exiguum corpore, sed (veneno) omnium maximum regem reptilium (basiliscum); cuius corpus colore rutilum, tripalme, caput acutum. Sibilum eius timent reptilia omnia, nec audent procedere ad cibum aut potum, sed eo audito diffugiunt. Morsus eius corpus totum inflammat, et carnes artuum liuidae nigricantesque defluunt, neque vlla auium ferarumue rapacium cadauer ob tetrum odorem attingere audent: quod si fame coacta aliqua attigerit, statim moritur.

Vers. 411—437. Dryinam alii chelydrum vocant. Hic lacus algasque palustres habitat et in pratis vicinis locustas ranasque venatur: vbi vero asilus eum exagitat, relicta pristina habitatione fugit in montium siluas et in quercuum fagorumque cauis caudicibus conditus latet. Dorsum nigrum est, caput planum, hydro simile: corpus odorem teterrimum spirat, qualem coria equina putrida in officina coriariorum exhalant. Hinc, quum hominem in calce aut talo vulnerauit, foetorem plaga grauissimum emittit, tumore nigricante attollitur: mentem dolores infesti impediunt: cu-

tem aridam pustulae erumpentes et sanie refertae occupant: oculi caligant: alii balatum edunt et suffocatione anguntur: vrina supprimitur: alii sopore pressi stertunt, singultibus crebris quatiuntur, aut bilem sanguinemue vomitu reiiciunt: denique sitim cum tremore totius corporis patiuntur.

Vers. 438—457. Draconem specie pulcrum, subflauum cyaneumque Aesculapius olim in Pelii niuosi frondosa fago per vallem Pelethroniam educauit: cuius vtramque maxillam tergeminus dentium ordo armat: pingues oculi sub superciliis sunt, e mento pendet barba aurea. Morsus eius quamuis irati maiorem noxam quam vulnus a dente muris illatum non affert praeter dolorem. Huic bellum est perpetuum cum aquila, cuius nidum et oua depraedatur: quare illa draconem vbicunque viderit incedentem, impugnat. Saepe etiam draco praedam aquilae, ouem leporemue, subito e fruteto prosiliens eripit: illa fugit: oritur pugna de praeda: sed volantem huc illuc frustra draco corpus varie contorquens oculisque toruis intuens insequitur.

Vers. 458—482. In insula Vulcano sacra, Lemno, et Samo, in sinu Thracio sitis, longum monstrum, cenchrinem (*miliarem*) reperies, quem alii leonem vocant, punctatis squamis variegatum, varia et longitudine et crassitudine corporis. Morsum eius continuo sequitur putredo omnia membra depascens, et cum dolore graui hydrops ventrem vmbilicumque occupat. Hic sole meridiano feruente visitat montes Saum et Mosychlum, vbi pastores sub vmbra abietum greges ouium congregatos refrigerare solent, sanguinem sitiens ouibusque insidians. Huic furenti caue occurras quamvis audax, ne te spiris suis implicatum strangulet et rupto thorace sanguinem exhauriat: sed fuge obliqua, non recta via:

nam recto ille itinere celerrime currit: motum obliquum impediunt spinae dorsalis rigidae vertebrae.

